In certain cases concerning the Mysteries the Eumolpidae formed a court (Demosth. contra Androt. 27). Ordinarily Heliastic courts tried cases of ἀσέβεια and of the cases concerning mysteries only initiates were allowed as assessors.

Diodorus (Anth. Pal. VII, 40). XXXIII

Αἰcχύλον ἥδε λέγει ταφίη λίθος ἐνθάδε κεῖcθαι
τὸν μέγαν, οἰκείης τῆλ᾽ ἀπὸ Κεκροπίης,
λευκᾰ Γέλᾱ Cικελοῖο παρ᾽ ὕδατα· τίς φθόνος αἴ! αἴ!
Θηcείδας ἀγαθῶν ἔγκοτος αἰὲν ἔχει;

DE CAVSA ÆSCHYLI

Aristoteles Eth. Nicom. III, 2 p. 1111ᵃ. XXXIV

῞Ο δὲ πράττει ἀγνοήcειεν ἄν τις, οἷον λέγοντές φαcιν ἐκπεcεῖν αὐτούς, ἢ οὐκ εἰδέναι, ὅτι ἀπόρρητα ἦν, ὥcπερ Αἰcχύλος τὰ μυcτικά.

Eustratius ad h. l. p. 40 A. XXXV

Δοκεῖ γὰρ Αἰcχύλος λέγειν μυcτικά τινα ἔν τε ταῖς Τοξότιcι καὶ Ἱερείαις καὶ ἐν Cιcύφῳ πετροκυλιcτῇ καὶ ἐν Ἰφιγενείᾳ καὶ ἐν Οἰδίποδι· ἐν γὰρ τούτοις πᾶcι περὶ Δημήτρας λέγων τῶν μυcτικῶν περιεργότερον ἅπτεcθαι ἔοικε. λέγει δὲ περὶ Αἰcχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ πρώτῳ περὶ Ὁμήρου ὡς κινδυνεύοντος ἐπὶ cκηνῆς ἀναιρεθῆναι ἐπὶ τῷ τῶν μυcτικῶν περιφέρειν τινὰ δοκεῖν, εἰ μὴ προαιcθόμενος κατέφυγεν ἐπὶ τὸν τοῦ Διονύcου βωμόν, καὶ τῶν Ἀρειοπαγιτῶν αὐτὸν παραιτηcαμένων ὡς ὀφείλοντα κριθῆναι πρῶτον, ἐδόκει ὑπαχθῆναι εἰς δικαcτήριον καὶ ἀποφυγεῖν, αὐτῶν τῶν δικαcτῶν ἀφέντων μάλιcτα διὰ τὰ πραχθέντα αὐτῷ ἐν τῇ ἐπὶ Μαραθῶνι μάχῃ· ὁ μὲν γὰρ ἀδελφὸς αὐτοῦ Κυνέγειρος ἀπεκόπη τὰς χεῖρας, αὐτὸς δὲ πολλὰ τρωθεὶς ἀνηνέχθη φοράδην· μαρτυρεῖ δὲ τούτοις καὶ

XXXIII. v. 3 γελᾶ cod., Γέλας Plan., corr. Huetius φθόνος αἰὲν cod., Suid. v. ἔγκοτον, corr. Iacobsius; φθόνος ἀcτῶν Plan.

XXXV. 5 μυcτικῶν Schneidewinus pro μυcτικωτέρων 8 περιφέρειν, quod in προφέρειν mutarunt cum Hermanno Opusc. t. II p. 165, restitui conl. Aspasii schol.: λέγει δὲ καὶ περὶ Αἰcχύλου καὶ Ἡρακλείδης ὁ Ποντικὸς ἐν α´ περὶ Ὁμήρου ὡς κινδυνεύοντος ἐπὶ τῷ τῶν μυcτικῶν περιφέρειν τινὰ δοκεῖν. Ceterum sunt qui huc pertinere putent Herodoti verba II, 156: Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν Διονύcου καὶ Ἴcιος λέγουcι εἶναι παῖδας . . . ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰcχύλος ὁ Εὐφορίωνος ἥρπαcε τὸ ἐγὼ φράcω, μοῦνος τῶν προγενομένων. ἐποίηcε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος. Cf. Pausanias VIII, 37, 3: Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι καὶ οὐ Λητοῦς ὄντα Αἰγυπτίων τὸν λόγον Αἰcχύλος ἐδίδαξεν Εὐφορίωνος τοὺς Ἕλληνας.

De causa.

τὸ ἐπίγραμμα τὸ ἐπιγεγραμμένον αὐτοῦ τῷ τάφῳ· Αἰσχύλον Εὐφορίωνος κτλ.

XXXVI Clemens Alex. Strom. II, 14.

Τὸ γοῦν ἀκούσιον οὐ κρίνεται. διττὸν δὲ τοῦτο, τὸ μὲν γενόμενον μετ' ἀγνοίας, τὸ δὲ ἀνάγκῃ ..... ἢ γὰρ αὐτόν τις ἀγνόησεν, ὡς Κλεομένης καὶ Ἀθάμας οἱ μανέντες, ἢ τὸ πρᾶγμα ὃ πράσσει, ὡς Αἰσχύλος τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν ἐν Ἀρείῳ πάγῳ κριθεὶς οὕτως ἀφείθη ἐπιδείξας αὐτὸν μὴ (μὴ om.) μεμυημένον κτλ.

XXXVII Aelianus V. h. V, 19.

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς διακαλυψάμενος τὸ ἱμάτιον ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριστείων ἔτυχεν. ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

XXXVIII Apsines Art. rhet. II p. 340, 7 Sp.

Οὐ μὴν διὰ τοῦτο ἡγοῦμαι προσήκειν ἐμαυτῷ τὴν κατηγορίαν ἀφεῖναι, ἀλλ' ὡς ἂν οἷός τε ὦ δεῖξαι τὰ τούτῳ τετολμημένα καὶ παραστῆσαι. ὧδε παραδείγματος ἕνεκα, οἱ ἐπὶ τοῖς Ποτιδαιάταις κρινόμενοι Ἀθηναῖοι, καὶ ὁ ἐπὶ ταῖς Εὐμενίσι, καὶ ὁ ἐπὶ τῷ λοιμῷ τῶν Σκυθῶν, καὶ ἐπὶ πάντων, ὅπου μέγα τι καὶ ὡμολογημένον ἀδίκημα.

DE ÆSCHYLI EBRIETATE

XXXIX Athenaeus VIII p. 365 B (Aristophanes frg. 204).

Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου .... καὶ Ἀριστοφάνης Γηρυτάδῃ. 'ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον'.

XL Athenaeus X p. 428 F.

Ἐπεὶ καὶ τὸν Αἰσχύλον ἐγὼ φαίην ἂν τοῦτο διαμαρτάνειν· πρῶτος γὰρ ἐκεῖνος καὶ οὐχ ὥς ἔνιοί φασιν Εὐριπίδης παρήγαγε τὴν τῶν μεθυόντων ὄψιν εἰς τραγῳδίαν. ἐν γὰρ τοῖς Καβείροις εἰσάγει τοὺς περὶ τὸν Ἰάσονα μεθύοντας. ἃ δ' αὐτὸς ὁ τραγῳδιοποιὸς ἐποίει, ταῦτα τοῖς ἥρωσι περιέθηκε· μεθύων γοῦν

XL. Cf. CXLIV; CLXXXIX.

See also [illegible]

Nestle 322.3: Cl. statement may be a misunderstanding of a statement like Aristotle's

[illegible]

[illegible] I. 103 [illegible]

Hegel Phaenomenologie des Geistes p. 35: Das Wahre ist so der bacchantische Taumel, an dem kein Glied trunken ist, und weil jedes, indem es sich absondert, ebenso unmittelbar sich auflöst – ist er ebenso die durchsichtige und einfache Ruhe.

Bergk 3. 346 thinks it probable that 'poet did heighten his powers by use of wine.

Girard Sentiment Rel. 334: "Full-Dionysus" is a parody on "full of Ares"

ἔγραφε τὰς τραγῳδίας. διὸ καὶ Σοφοκλῆς αὐτῷ μεμφόμενος ἔλεγεν ὅτι 'ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ἀλλ' οὖν οὐκ εἰδώς γε ποιεῖς'· ὡς ἱστορεῖ Χαμαιλέων ἐν τῷ περὶ Αἰσχύλου.

Athenaeus I p. 22 A. XLI

Μεθύων δὲ ἐποίει τὰς τραγῳδίας Αἰσχύλος, ὥς φησι Χαμαιλέων. Σοφοκλῆς γοῦν ὠνείδιζεν αὐτῷ ὅτι εἰ καὶ τὰ δέοντα ποιεῖ, ἀλλ' οὐκ εἰδώς γε.

Stobaeus Floril. XVIII, 33. XLII

Πλουτάρχου (ἐκ τοῦ ὅτι καὶ γυναῖκα παιδευτέον). Σοφοκλῆς ἐμέμφετο Αἰσχύλῳ ὅτι μεθύων ἔγραφε· 'καὶ γὰρ εἰ τὰ δέοντα ποιεῖ' φησίν 'ἀλλ' οὐκ εἰδώς γε'.

Eustathius ad Od. θ, 298 p. 1598, 57. XLIII

Τὸ δὲ οὐδέ τι κινῆσαι μελέων ἦν παραλύτου ὄν, ἔστι προσρηθῆναι καὶ τοῖς ἄγαν μεθύουσιν, οὓς καὶ ἐξοίνους φαμέν. καλῶς οὖν ἔγραφέ τις τὸ 'οἶνος πόδας δεῖ γλῶσσάν τε νόον τε δεσμοῖσιν ἀφράστοισι τοῖς Ὁμήρου φρασθεῖσι'. πάσχει δέ τις δεσμοὺς τοιούτους, ὅτε κατὰ τὸν εἰπόντα, πίνει οἶνον ὑπερβολάδην, ὁπηνίκα καί τι σπουδαῖον εἰ γίνοιτο, σκώπτεται. Αἰσχύλος οὖν ἐν τῷ μεθύειν γράφων ἐπαινετὰς τραγῳδίας ἤκουσε παρὰ Σοφοκλέους τὸ 'ὦ Αἰσχύλε, εἰ καὶ τὰ δέοντα ποιεῖς, ὅμως οὐκ εἰδώς γε ποιεῖς.'

Plutarchus Quaest. conv. VII, 10 p. 715 E. XLIV

Καίτοι τοῦ πίνειν τὸ μεθύειν διαφέρει, καὶ τοὺς μεθύοντας ὥστε ληρεῖν οἰόμεθα δεῖν ἀπιόντας καθεύδειν· οἴνῳ δὲ χρωμένους ἐπιπλέον καὶ διαπίνοντας, ἄλλως νοῦν ἔχοντας ἄνδρας, οὐκ ἄξιον δεδιέναι μὴ σφαλῶσι τῷ λογισμῷ καὶ τὴν ἐμπειρίαν ἀποβάλωσιν. . . . . πολλοῖς δ' ἰταμότητα θάρσους συνεργὸν ὁ ἄκρατος, οὐδὲ βδελυρὰν οὐδ' ἄκρατον, ἀλλ' εὔχαριν καὶ πιθανὴν προστίθησιν· ὥσπερ καὶ τὸν Αἰσχύλον ἱστοροῦσι τὰς τραγῳδίας ἐμπίνοντα ποιεῖν, καὶ οὐχ, ὡς Γοργίας εἶπεν, ἓν τῶν δραμάτων αὐτοῦ μεστὸν Ἄρεως εἶναι, τοὺς Ἑπτὰ ἐπὶ Θήβας, ἀλλὰ πάντα Διονύσου.

Plutarchus Quaest. conv. I, 5 p. 622 E. XLV

Ἐλέχθη δὲ καὶ ὅτι τῷ μεθύειν τὸ ἐρᾶν ὅμοιόν ἐστι· ποιεῖ γὰρ θερμοὺς καὶ ἱλαροὺς καὶ διακεχυμένους· γενόμενοι δὲ τοιοῦτοι πρὸς τὰς ἐπῳδοὺς καὶ συμμέτρους μάλιστα φωνὰς ἐκφέρονται. καὶ τὸν Αἰσχύλον φασὶ τὰς τραγῳδίας πίνοντα ποιεῖν καὶ διαθερμαινόμενον.

Dicta.

XLVI Lucianus Dem. enc. 15.

Οὐ γὰρ ὡς τὸν Αἰσχύλον ὁ Καλλισθένης ἔφη που λέγων τὰς τραγῳδίας ἐν οἴνῳ γράφειν ἐξορμῶντα καὶ ἀναθερμαίνοντα τὴν ψυχήν, οὐχ οὕτως ὁ Δημοσθένης συνετίθει πρὸς μέθην τοὺς λόγους, ἀλλ' ὕδωρ πίνων.

DICTA ÆSCHYLI

XLVII Pausanias I, 21, 3.

Ἔφη δὲ Αἰσχύλος μειράκιον ὢν καθεύδειν ἐν ἀγρῷ φυλάσσων σταφυλάς, καί οἱ Διόνυσον ἐπιστάντα κελεῦσαι τραγῳδίαν ποιεῖν· ὡς δὲ ἦν ἡμέρα, πείθεσθαι γὰρ ἐθέλειν, ῥᾷστα ἤδη πειρώμενος ποιεῖν. οὗτος μὲν ταῦτα ἔλεγεν.

XLVIII Athenaeus VIII p. 347 E.

Οὕτω μοι δοκεῖ καὶ ὁ λεβητοχάρων Οὐλπιανός, κατὰ τὸν ἐμὸν Μεγαλοπολίτην Κερκιδᾶν, μηδὲν μὲν ἐσθίειν τῶν ἀνδρὶ προσηκόντων, τηρεῖν δὲ τοὺς ἐσθίοντας, εἰ παρεῖδον ἢ ἄκανθαν ἢ τῶν τραγανῶν τι ἢ χονδρῶδες τῶν παρατεθέντων, οὐδ' ἐπὶ νοῦν βαλλόμενος τὸ τοῦ καλοῦ καὶ λαμπροῦ Αἰσχύλου, ὃς τὰς αὑτοῦ τραγῳδίας τεμάχη εἶναι ἔλεγε τῶν Ὁμήρου μεγάλων δείπνων.

XLIX Athenaeus VIII p. 347 E.

Φιλόσοφος δὲ ἦν τῶν πάνυ ὁ Αἰσχύλος, ὃς καὶ ἡττηθεὶς ἀδίκως ποτέ, ὡς Θεόφραστος ἢ Χαμαιλέων ἐν τῷ περὶ ἡδονῆς εἴρηκεν, ἔφη χρόνῳ τὰς τραγῳδίας ἀνατιθέναι, εἰδὼς ὅτι κομιεῖται τὴν προσήκουσαν τιμήν.

L Eustathius ad Il. Ψ, 256 p. 1298, 56.

Ἔνθα χρόνῳ ἀνατίθησιν ὁ Ἕκτωρ τὸ ἑαυτοῦ ἔργον, ὃ δὴ καὶ ὁ καλὸς Αἰσχύλος ἐποίει, ὃς τὰς αὑτοῦ τραγῳδίας τεμάχη λέγων εἶναι τῶν Ὁμήρου μεγάλων δείπνων διὰ τὸ λαμπρῶς ἀπομάττεσθαι τὰς Ὁμηρικὰς μεθόδους, ὥς ποτε ἀδίκως ἡττήθη, ἀνατιθέναι τὴν τραγῳδίαν ἔφη χρόνῳ, εἰδὼς ὡς κομιεῖται κατὰ καιρὸν ὑπὸ τῶν ὀρθῶς ἀνακρινόντων τὴν προσήκουσαν τιμήν.

LI Porphyrius de abstin. II, 18 p. 30, 33 Hercher.

Τὰ παλαιότατα ἤδη κεράμεα καὶ ξύλινα ὑπάρχοντα μᾶλλον θεῖα νενόμισται διά τε τὴν ὕλην καὶ τὴν ἀφέλειαν τῆς τέχνης. τὸν γοῦν Αἰσχύλον φασὶν τῶν Δελφῶν (ἀδελφῶν cod., corr. Fabricius) ἀξιούντων εἰς τὸν θεὸν γράψαι παιᾶνα εἰπεῖν, ὅτι βέλτιστα Τυννίχῳ πεποίηται. παραβαλλόμενον δὲ τὸν αὑτοῦ πρὸς

cf. XLIV

Wm. H . 94

Bernhardy 2. 261 suggests that the innovations in myth may have been thought a philonothy

Time's old daughter Truth (Ford) F . d. 10.

cp. Epigram on Thespis: μυρίος αἰὼν πολλὰ προσευρήσει χἄτερα· τἀμὰ δ' ἐμά.
Pind. fr. 159 ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος

τὸν ἐκείνου ταὐτὸν πείσεσθαι τοῖς ἀγάλμασι τοῖς καινοῖς πρὸς τὰ ἀρχαῖα· ταῦτα γὰρ καίπερ ἁπλῶς πεποιημένα, θεῖα νομίζεσθαι, τὰ δὲ καινὰ περιέργως εἰργασμένα θαυμάζεσθαι μέν, θεοῦ δὲ δόξαν ἧττον ἔχειν. καὶ τὸν Ἡσίοδον οὖν εἰκότως τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν·

Ὥς κε πόλις ῥέζῃσι, νόμος δ' ἀρχαῖος ἄριστος.

Plutarchus de prof. in virt. p. 79 D. E (= Stobaeus Floril. XXIX, 89). LII

Οἵ γε μᾶλλον ἔτι προκόπτοντες οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ θεαμάτων καὶ πραγμάτων πάντων ὠφελεῖσθαι δύνανται καὶ συνάγειν τὸ οἰκεῖον καὶ χρήσιμον, οἷα καὶ περὶ Αἰσχύλου λέγεται καὶ περὶ ἄλλων ὁμοίων. Αἰσχύλος μὲν γὰρ Ἰσθμοῖ θεώμενος ἀγῶνα πυκτῶν, ἐπεὶ πληγέντος τοῦ ἑτέρου τὸ θέατρον ἐξέκραγε, νύξας Ἴωνα τὸν Χῖον 'ὁρᾷς' ἔφη 'οἷόν ἐστιν ἡ ἄσκησις; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσιν'.

Plutarchus de aud. poet. p. 29 F. LIII

Ὁ μὲν γὰρ Αἰσχύλος Ἰσθμοῖ πύκτου πληγέντος εἰς τὸ πρόσωπον καὶ κραυγῆς γενομένης 'οἷον' εἶπεν 'ἡ ἄσκησίς ἐστιν· οἱ θεώμενοι βοῶσιν, ὁ δὲ πληγεὶς σιωπᾷ'.

Plutarchus Reg. et imp. apophth. p. 186 C. LIV

Αἰσχύλου δὲ ποιήσαντος εἰς Ἀμφιάραον·

οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα·

καὶ λεγομένων τούτων πάντες εἰς Ἀριστείδην ἀπέβλεψαν.

Plutarchus Aristid. c. III. LV

Τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων·

οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα,

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.

LVI Stobaeus Floril. XCVIII, 9.

Cωτάδου·

. . . . ὅτι πάντεc, ὅcοι περιccὸν ἠθέληcαν εὑρεῖν
ἢ μηχανικὸν ποίημ', ἢ coφὸν μάθημα,
οὗτοι κακὸν εἰc τὸν θάνατον τέλοc ἐποίηcαν,
ὑπὸ τοῦ γεννήτοροc κόcμου κακῶc παθόντεc. . . . .
Αἰcχύλῳ γράφοντι ἐπιπέπτωκε χελώνη.

LVII Plinius N. h. X, 3.

Tertia (generis aquila) morphnos, quam Homerus et percnum vocat, aliqui et plangum et anatariam, secunda magnitudine et vi. huic vita circa lacus. Phemonoe Apollinis dicta filia dentes ei esse prodidit mutae alias carentique lingua, eandem aquilarum nigerrimam, prominentiore cauda. consentit et Boethus. ingenium est ei testudines raptas frangere e sublimi iaciendo, quae fors interemit poetam Aeschylum praedictam fatis, ut ferunt, eius diei ruinam secura caeli fide caventem.

LVIII Valerius Maximus IX, 12, ext. 2.

Aeschyli vero poetae excessus quem ad modum non voluntarius, sic propter novitatem casus referendus. in Sicilia moenibus urbis, in qua morabatur, egressus aprico in loco resedit. super quem aquila testudinem ferens, elusa splendore capitis — erat enim capillis vacuum — perinde atque lapidi eam inlisit, ut fractae carne vesceretur, eoque ictu origo et principium fortioris tragoediae extinctum est.

LIX Aelianus de nat. anim. VII, 16.

Τὰc χερcαίαc χελώναc οἱ ἀετοὶ cυλλαβόντεc εἶτα ἄνωθεν προcήραξαν ταῖc πέτραιc, καὶ τὸ χελώνιον cυντρίψαντεc οὕτωc ἐξαιροῦcι τὴν cάρκα καὶ ἐcθίουcι. ταύτῃ τοι καὶ Αἰcχύλον τὸν Ἐλευcίνιον τὸν τῆc τραγῳδίαc ποιητὴν τὸν βίον ἀκούω καταcτρέψαι. ὁ μὲν Αἰcχύλοc ἐπί τινοc πέτραc καθῆcτο, τὰ εἰθιcμένα

LVI. v. 5 γράφοντί τι Hermannus El. d. m. p. 447; κατεπιπέπτωκε Goettlingius progr. Ien. a. 1854 p. 6. Cf. I, 9; 15; II. Hesychius v. χελωνοφάγοι (χελωνοφάνοι excitatum Mus. Rhen. t. IX p. 155)· ἀετοί τινεc.

LIX. 6 οὖν (ed. Par.) vel γὰρ (ed. Lips.) inserere vult Hercherus; sed simpliciter transscripsit narratiunculam Aelianus: unde etiam articulum ante ἀετὸc p. 19, 2 ab Herchero deletum restitui, quippe cum in fonte antea commemoratus esse possit.

LVII. shows of ? oracle

VI: Göttl. objectes. Hermannis τι. G. conj. also καταστεύσατε

LX = ~~[illegible]~~ σκότος γάρ ἐστιν Αἰσχύλου ~~σκοτεινά~~ τεθνηκότας.,

[illegible] refers verses [illegible].

cf. Ran. 868 ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκέ μοι, τοῦτῳ δὲ συντέθνηκεν, ὥσθ᾽ ἕξει λέγειν

δήπου φιλοϲοφῶν καὶ γράφων· ἄθριξ δὲ ἦν τὴν κεφαλὴν καὶ ψιλόϲ· οἰηθεὶϲ οὖν ὁ ἀετὸϲ πέτραν εἶναι τὴν κεφαλὴν εἶτα μέντοι κατ' αὐτῆϲ ἀφῆκεν ἣν κατεῖχε χελώνην, καὶ ἔτυχε τοῦ προειρημένου τὸ βέλοϲ, καὶ ἀπέκτεινε τὸν ἄνδρα.'

DE HONORIBVS POST MORTEM HABITIS ÆSCHYLO

Aristides orat. XII p. 145 Dind. (Aristophanes frg. 565). LX

"Ο δέ φηϲιν Ἀριϲτοφάνηϲ περὶ Αἰϲχύλου ϲκότον εἶναι τεθνηκότοϲ, τοῦτ' ἄξιον καὶ περὶ τούτου (sc. Ἀλεξάνδρου τοῦ Κοτυαέωϲ) νῦν εἰπεῖν εἰϲ παιδείαϲ λόγον.

Aristophanes Nub. v. 1364 sq. c. Schol. LXI

ΣΤΡ. . . . ἐκέλευϲ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα
τῶν Αἰϲχύλου λέξαι τί μοι.

[μυρρίνηϲ γὰρ κλάδον κατέχοντεϲ ᾖδον τὰ Αἰϲχύλου, ὥϲπερ τὰ Ὁμήρου μετὰ δάφνηϲ.] παρὰ τὰ Αἰϲχύλου 'οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια.' [Ἄλλωϲ.] Δικαίαρχοϲ ἐν τῷ περὶ μουϲικῶν ἀγώνων (ἀγώνων add. Dindorfius) 'ἔτι (ἐπεὶ cod., corr. Hermannus) δὲ κοινόν τι πάθοϲ φαίνεται ϲυνακολουθεῖν τοῖϲ διερχομένοιϲ εἴτε μετὰ μέλουϲ εἴτε ἄνευ μέλουϲ, ἔχοντάϲ τι ἐν τῇ χειρὶ ποιεῖϲθαι τὴν ἀφήγηϲιν. οἵ τε γὰρ ᾄδοντεϲ ἐν τοῖϲ ϲυμποϲίοιϲ ἐκ παλαιᾶϲ τινοϲ παραδόϲεωϲ κλῶνα δάφνηϲ ἢ μυρρίνηϲ λαβόντεϲ ᾄδουϲιν.'

Aristophanes Ran. v. 868 (892) sq. c. Schol. LXII

ΑΙϹΧ. ὅτι ἡ ποίηϲιϲ οὐχὶ ϲυντέθνηκέ μοι·
τούτῳ δὲ ϲυντέθνηκεν, ὥϲθ' ἕξει λέγειν.

ἐπεὶ τὰ Αἰϲχύλου ἐψηφίϲαντο διδάϲκειν. κομπῶδεϲ δὲ τοῦτο ἔφη· τῶν γὰρ δυνατῶν καὶ μετὰ θάνατον ᾄδονται τὰ ποιήματα.

Schol. ad Aristophanis Acharn. v. 10. LXIII

προϲδοκῶν τὸν Αἰϲχύλον] . . . . . τιμῆϲ δὲ μεγίϲτηϲ ἔτυχε παρὰ Ἀθηναίοιϲ ὁ Αἰϲχύλοϲ, καὶ μόνου αὐτοῦ τὰ δράματα ψηφίϲματι κοινῷ καὶ μετὰ θάνατον ἐδιδάϲκετο.

Philostratus vit. Apoll. VI, 11 p. 220 Kays. LXIV

Ἀθηναῖοι πατέρα μὲν αὐτὸν τῆϲ τραγῳδίαϲ ἡγοῦντο, ἐκάλουν

LXII. Cf. I, 10; 11; II; LXXI.

δὲ καὶ τεθνεῶτα ἐς Διονύσια· τὰ γὰρ τοῦ Αἰσχύλου ψηφισαμένων ἀνεδιδάσκετο καὶ ἐνίκα ἐκ καινῆς.

LXV Quintilianus X, 1, 66.

(Aeschylus — rudis in plerisque et incompositus.) propter quod correctas eius fabulas in certamen deferre posterioribus poetis Athenienses permiserunt, suntque eo modo multi coronati.

LXVI [Plutarchus] Vit. X orat. p. 841 E.

(Λυκοῦργος) εἰσήνεγκε δὲ καὶ νόμους .... τὸν δὲ ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν ποιητῶν Αἰσχύλου Σοφοκλέους Εὐριπίδου καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν καὶ τὸν τῆς πόλεως γραμματέα παραναγινώσκειν· † τοῖς ὑποκρινομένοις οὐκ ἐξεῖναι γὰρ αὐτὰς ὑποκρίνεσθαι.

LXVII Pausanias I, 21, 3.

(Εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν .... τραγῳδίας δὲ κεῖνται τῶν φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς ....) τὴν δὲ εἰκόνα τὴν Αἰσχύλου πολλῷ τι (τε cod., corr. Schubartus; idem inclusit καὶ addito ἐκ) ὕστερον τῆς τελευτῆς δοκῶ ποιηθῆναι [καὶ] ἐκ τῆς γραφῆς ἣ τὸ ἔργον ἔχει τὸ Μαραθῶνι.

LXVIII Plutarchus Alexand. c. VIII.

Τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις Ἅρπαλον ἐκέλευσε πέμψαι. κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους, καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνάς, καὶ Τελέστου καὶ Φιλοξένου διθυράμβους.

LXIX Lucianus adv. ind. 15.

Λέγεται γὰρ καὶ Διονύσιον τραγῳδίαν ποιεῖν φαύλως πάνυ καὶ γελοίως, ὥστε τὸν Φιλόξενον πολλάκις δι᾽ αὐτὴν ἐς τὰς λατομίας ἐμπεσεῖν οὐ δυνάμενον κατέχειν τὸν γέλωτα. οὗτος τοί-

---

LXVI. Cf. Harpocration v. θεωρικά· ... Φιλῖνος δὲ ἐν τῇ πρὸς Σοφοκλέους καὶ Εὐριπίδου εἰκόνας, ubi Valesius Aeschyli nomen intercidisse putat assentientibus Sauppio et Dindorfio. In verbis extremis post παραναγινώσκειν interpunxerunt Stanleius et Bernhardyus τοῖς δ᾽ scribens; τοῖς ὑποκρινουμένοις Iahnius, τοῖς τῶν ὑποκριτῶν ἀντιγράφοις Kornius de publ. fab. exempl. Bonnae a. 1863 p. 6; παρ᾽ pro γὰρ Wyttenbachius; αὐτοὺς Reiskius, ἄλλους Dobraeus Adv. I p. 163, αὐτὰς ἄλλως Grysarus de Graec. trag. p. 91, ἄλλως Sauppius, αὐτοὺς αὐτὰς Weckleinius Art. Soph. em. p. 155; παρυποκρίνεσθαι et antea ἀναγινώσκειν Sommerbrodtius Mus. Rhen. t. XIX p. 130; οἷς οὐκ ἐξ. παρ᾽ κτλ. Buechelerus Fleckeis. Ann. a. 1874 p. 694.

Diog. Laert. 2.43 καὶ Ἀστυδάμαντα πρότερον (sic Herm. MSS. πρῶτον) τῶν (so MS. R. other MSS. τὸν) περὶ Αἰσχύλον ἐτίμησαν (scil. οἱ Ἀθηναῖοι) εἰκόνι χαλκῇ.
Korn: de publico A. S. E. fabularum exemplari Lycurgo auctore confecto 1863

W. M. 16 unde colligunt ibi pictum fuisse Aeschylum, quod ut Pausanias voluerit, inanis est ariolatio, neque enim nomina adscripserant pictores

W. M.[16] Paus. mentions the statues S. & E. before that A.; perhaps only had something to say about the last.

Welcker. Gr. Trag. III. 908. if any one wishes to represent an old play he must go to office & clerk, who would compare the actors' copy with the State copy with that the actor might not change the old version to its loss.

νυν πυθόμενος ὡς ἐγγελᾶται, τὸ Αἰσχύλου πυξίον, εἰς ὃ ἐκεῖνος ἔγραφε, σὺν πολλῇ σπουδῇ κτησάμενος καὶ αὐτὸς ᾤετο ἔνθεος ἔσεσθαι καὶ κάτοχος ἐκ τοῦ πυξίου, ἀλλ' ὅμως ἐν αὐτῷ ἐκείνῳ μακρῷ γελοιότερα ἔγραφεν.

Galenus in Hippocr. epidem. III, 2 (t. XVII p. 607 K.). LXX
Ὅτι δ' οὕτως ἐσπούδαζε περὶ τὴν τῶν παλαιῶν βιβλίων κτῆσιν ὁ Πτολεμαῖος ἐκεῖνος, οὐ μικρὸν εἶναι μαρτύριόν φασιν, ὃ πρὸς Ἀθηναίους ἔπραξε· δοὺς γὰρ αὐτοῖς ἐνέχυρα πεντεκαίδεκα τάλαντα ἀργυρίου καὶ λαβὼν τὰ Σοφοκλέους καὶ Εὐριπίδου καὶ Αἰσχύλου βιβλία χάριν τοῦ γράψαι μόνον ἐξ αὐτῶν εἶτ' εὐθέως ἀποδοῦναι σῶα, κατασκευάσας πολυτελῶς ἐν χάρταις καλλίστοις, ἃ μὲν ἔλαβε παρὰ Ἀθηναίων, κατέσχεν, ἃ δ' αὐτὸς κατεσκεύασεν, ἔπεμψεν αὐτοῖς παρακαλῶν ἔχειν τε τὰ ιε' τάλαντα καὶ λαβεῖν ἀνθ' ὧν ἔδοσαν βιβλίων παλαιῶν τὰ καινά.

DE FAMILIA SECTAQVE ÆSCHYLI

Suidas v. Εὐφορίων. LXXI
Εὐφορίων υἱὸς Αἰσχύλου τοῦ τραγικοῦ, Ἀθηναῖος, τραγικὸς καὶ αὐτός· ὃς καὶ τοῖς Αἰσχύλου τοῦ πατρός, οἷς μήπω ἦν ἐπιδειξάμενος, τετράκις ἐνίκησεν. ἔγραψε δὲ καὶ οἰκεῖα.

Arg. Eur. Med. LXXII
Ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος πζ' ἔτει πρώτῳ. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ Φιλοκτήτῃ Δίκτυϊ Θερισταῖς σατύροις.

Schol. ad Aristophanis Av. v. 282. LXXIII

ΕΥ. τί τὸ τέρας τουτί ποτ' ἐστίν; οὐ σὺ μόνος ἄρ' ἦσθ' ἔποψ,
ἀλλὰ χοὖτος ἕτερος; ΕΠ. ἀλλ' οὗτος μέν ἐστι Φιλοκλέους
ἐξ ἔποπος, ἐγὼ δὲ τούτου πάππος, ὥσπερ εἰ λέγοις
Ἱππόνικος Καλλίου κἀξ Ἱππονίκου Καλλίας.

Φιλοκλῆς .... εἴη ἂν οὖν τὸν ἔποπα ἐσκευοποιηκὼς τῇ Πανδιονίδι τετραλογίᾳ, ἣν καὶ Ἀριστοτέλης ἐν ταῖς Διδασκαλίαις

LXXI. Cf. II.

LXXIII. Corr. Boeckhius CIG t. II p. 321 (aliter antea Gr. trag. princ. p. 33). — Cf. Suidas l. s. s. et v. Ἀστυδάμας; schol. Eq. v. 401; Ran. v. 151; Hesychius v. Κλύμενος.

ἀναγράφει. ἔστι δὲ ὁ Φιλοκλῆς τραγῳδίας (κωμῳδίας cod. cum Suida v. προκέφαλος et Φιλοκλῆς, corr. Kusterus) ποιητής, καὶ Φιλοπείθους υἱὸς ἐξ Αἰσχύλου ἀδελφῆς. ὅσοι δὲ Ἁλμίωνος αὐτόν φασιν, ἐπιθετικῶς λέγουσι διὰ τὸ πικρὸν εἶναι· ἅλμη γὰρ ἡ πικρία. γεγόνασι δὲ Φιλοκλεῖς δύο τραγῳδιῶν ποιηταί· εἷς μὲν (ὁ Φιλοπείθους υἱός, ἕτερος δὲ add. Boeckhius) ὁ Φιλοκλέους ἀπόγονος. ἐκείνου μὲν γὰρ υἱὸς Μόρσιμος [τούτου δὲ Ἀστυδάμας] (del. Boeckhius), ἐκ τούτου δὲ Φιλοκλῆς καὶ ἕτερος (Ἀστυδάμας add. Boeckhius) ὁ κατὰ τὴν αὐτὴν ἡλικίαν περιπεπτωκὼς τῷ νεωτέρῳ Φιλοκλεῖ.

LXXIV Arg. Soph. O. R.

Χαριέντως δὲ τύραννον ἅπαντες αὐτὸν ἐπιγράφουσιν ὡς ἐξέχοντα πάσης τῆς Σοφοκλέους ποιήσεως, καίπερ ἡττηθέντα ὑπὸ Φιλοκλέους, ὥς φησι Δικαίαρχος.

LXXV Aristides or. XLVI p. 334 D.

Σοφοκλῆς Φιλοκλέους ἡττᾶτο ἐν Ἀθηναίοις τὸν Οἰδίπουν, ὦ Ζεῦ καὶ θεοί, πρὸς ὃν οὐδ' Αἰσχύλος εἶχε λέξαι τι. ἆρ' οὖν διὰ τοῦτο χείρων Σοφοκλῆς Φιλοκλέους; αἰσχύνη μὲν οὖν αὐτῷ τοσοῦτον ἀκοῦσαι, ὅτι βελτίων Φιλοκλέους.

LXXVI Schol. ad Aristophanis Thesmophor. v. 168 (175).

Ταῦτ' ἄρ' ὁ Φιλοκλέης αἰσχρὸς ὢν αἰσχρῶς ποιεῖ] ..... καὶ Τηλεκλείδης Ἡσιόδοις· 'ἀλλ' ἡ τάλαινα Φιλοκλέα * οὖν, εἰ δ' ἐστὶν Αἰσχύλου φρόνημ' ἔχων.'

LXXVII Laertius Diogenes II, 5, 43.

Ἀθηναῖοι δ' εὐθὺς μετέγνωσαν .... Μελήτου δὲ θάνατον κατέγνωσαν· Σωκράτην δὲ χαλκῇ εἰκόνι ἐτίμησαν .... οὐ μόνον δ' ἐπὶ Σωκράτους Ἀθηναῖοι πεπόνθασι τοῦτο, ἀλλὰ καὶ ἐπὶ πλείστων ὅσων. καὶ γὰρ Ὅμηρον, καθά φησιν Ἡρακλείδης, πεντήκοντα δραχμαῖς ὡς μαινόμενον ἐζημίωσαν, καὶ Τυρταῖον

LXXVI. Lacunam, qua plura interciderint, indicavit Dindorfius; in R litteris prope oblitteratis λελυθημαι ὅθεν. ἀλλ' ἡ τάλαινα Φιλοκλέα βδελύττεται, ὅτι [γύννις] ἐστὶν Αἰ. φρ. ἔ. tentavit Duebnerus.

LXXVII. πρότερον τῶν περὶ Αἰσχ. cum Hermanno Cobetus contra huius loci rationem; Casaubonus post Αἰσχύλον ὃν inseruit; ὃν ἐτίμησαν εἰκόνι χαλκῇ, ἐτίμησαν εἴκοσι χαλκαῖς vel simpliciter ἠτίμησαν εἴκοσι χαλκαῖς Menagius. Extrema verba nescio an e superioribus repetita sint a sciolo, qui etiam Astydamanti statuam postea exstructam esse memoria teneret.

παρακόπτειν ἔλεγον, καὶ Ἀστυδάμαντα πρῶτον τῶν περὶ Αἰσχύλον [ἐτίμησαν εἰκόνι χαλκῇ].

(Athenaeus I p. 19 E. LXXVIII
Ἀθηναῖοι δὲ Ποθεινῷ τῷ νευροσπάστῃ τὴν σκηνὴν ἔδωκαν, ἀφ' ἧς ἐνεθουσίων οἱ περὶ Εὐριπίδην. Ἀθηναῖοι δὲ καὶ Εὐρυκλείδην ἐν τῷ θεάτρῳ ἀνέστησαν μετὰ τῶν περὶ Αἰσχύλον.)

Ex vita Sophoclis p. 3, 22 I. LXXIX
Παρ' Αἰσχύλῳ δὲ τὴν τραγῳδίαν ἔμαθε.

Aristophanes Ran. v. 787. LXXX
ΞΑ. οὐ καὶ Σοφοκλέης ἀντελάβετο τοῦ θρόνου;
ΑΙ. μὰ Δί' οὐκ ἐκεῖνος, ἀλλ' ἔκυσε μὲν Αἰσχύλον,
ὅτε δὴ κατῆλθε, κἀνέβαλε τὴν δεξιάν,
κἀκεῖνος ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου.

Aristides or. XXVI p. 520 D. LXXXI
Καὶ δὴ καὶ Σοφοκλέα ποτὲ ἔδοξα τὸν ποιητὴν παρελθεῖν εἰς τὴν οἰκίαν τὴν ἐμαυτοῦ .... ἰδὼν οὖν αὐτὸν ἥσθην τε καὶ ἀναστὰς ἠσπαζόμην καὶ ἠρώτων, 'ποῦ δέ σοι' ἔφην 'ἀδελφός;' καὶ ὅς, 'ἔστι γάρ τις' ἔφη 'ἀδελφὸς ἐμοί;' 'Αἰσχύλος γε οὗτος' ἔφην ἐγώ.

(Schol. ad Aristophanis Ran. v. 965 (996). LXXXII
ΕΥ. γνώσει δὲ τοὺς τούτου τε κἀμοὺς ἑκατέρου μαθητάς.
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ' ὁ Μανῆς.
Δίδυμός φησιν ὅτι Φορμίσιος δραστικὸς ἦν καὶ τὴν κόμην τρέφων καὶ φοβερὸς δοκῶν εἶναι. διὸ καὶ Αἰσχύλου μαθητὴν αὐτόν φησιν εἶναι.)

(Proleg. de comoedia III. LXXXIII
Κρατῖνος .... γέγονε δὲ ποιητικώτατος κατασκευάζων εἰς τὸν Αἰσχύλου χαρακτῆρα.)

LXXIX. Cf. CLX.

Schol. M ad Pr. 128.

ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν. ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν καὶ ἠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ

LXXXIV

ΚΑΤΑΛΟΓΟΣ
ΤΩΝ ΑΙΣΧΥΛΟΥ ΔΡΑΜΑΤΩΝ:—

ἀγαμέμνων	ἀθάμας	αἰγύπτιοι	αἰτναῖαι γνήσιοι
αἰτναῖαι νόθοι	ἀμυμώνη	ἀργεῖοι	ἀργὼ ἢ κωπαστής
ἀταλάντη	βάκχαι	βασσάραι	γλαυκὸς πόντιος
δαναΐδες	δικτυουργοί	ἑπτ' ἐπὶ θήβας	εὐμενίδες
ἐπίγονοι	ἐλευσίνιοι	ἡλιάδες	ἠδωνοί
ἡρακλείδης	θρήϊσσαι	θεόδωροι ἢ ἰσομισταί	ἰφιγένεια
ἰξίων	ἱκέτιδες	κάβειροι	καλλιστώ
κρῆσσαι	κερκύων	κίρκη σατυρική	κήρυκες
κᾶρες ἢ εὐρώπη	λάϊος	λέων	λήμνιοι
λυκοῦργος	μέμνων	μυσοί	μυρμηδόνες
νεανίσκοι	νεμέα	νηρεΐδες	νιόβη
ξάντρι *	οἰδίπους	ὅπλων κρίσις	ὀστολόγοι
πενθεύς	περραιβίδες	πρωτεύς	πέρσαι
πηνελόπη	προπομποί	προμηθεὺς δεσμώτης	προμηθεὺς πυρφόρος
προμηθεὺς λυόμενος	πολυδέκτης	σαλαμίνιοι	σεμέλη ἢ ὑδροφόρος
σίσυφος δραπέτης	σφίγξ	τοξότιδες	τήλεφος
τροφοί	ὑψιπύλη	φιλοκτήτης	φορκίδες
φρύγιοι	φρύγες ἢ ἕκτορος λύτρα	χοηφόροι	ψυχοστασία
	ψυχαγωγοί		

LXXXIV. Catalogum ad fidem Medicei descripsi neque in adnotatione manifestos errores respexi. — v. 4 col. 4 ἢ Κωπευσταί Welckerus de tril. p. 312 v. 5 col. 3 Βασσαρίδες alias v. 6 col. 2 Δικτυουλκοί rectius alias v. 8 col. 3 Θεωροὶ ἢ Ἰσθμιασταί aliunde constat titulus v. 11 col. 4 Λήμνιαι mutarunt nonnulli v. 14 col. 1 Ξάντριαι; in cod. οι, ut videtur, erasum

DE CERTAMINIBVS VICTORIISQVE ÆSCHYLI

Suidas v. Πρατίνας. LXXXV

Ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ, ἐπὶ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος καὶ πρῶτος ἔγραψε Σατύρους. ἐπιδεικνυμένου δὲ τούτου συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταί, πεσεῖν. καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις.

E Chronico Pario ep. 50. LXXXVI

Ἀφ' οὗ Αἰσχύλος ὁ ποιητὴς τραγῳδίᾳ πρῶτον ἐνίκησε καὶ Εὐριπίδης ὁ ποιητὴς ἐγένετο καὶ Στησίχορος ποιητὴς εἰ[ς] τὴν Ἑλλάδα ἀ[φίκετ]ο ἔτη ΗΗΔΔΙΙ ἄρχοντος Ἀθήνησιν Φιλοκράτους.

E Chronico Pario ep. 56. LXXXVII

Ἀφ' οὗ Σοφοκλῆς ὁ Σοφίλλου ὁ ἐκ Κολωνοῦ ἐνίκησε τραγῳδίᾳ ἐτῶν ὢν ΔΔΓΙΙΙ ἔτη ΗΗΓΙ ἄρχοντος Ἀθήνησι Ἀψηφίονος.

Plutarchus Cimon. c. VIII. LXXXVIII

Ἔθεντο δ' εἰς μνήμην (τιμὴν Michaelis) αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀψεφίων (Ἀφεψίων cod., corr. C. Keilius) ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος, ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων παρελθὼν (προελθὼν cod., corr. Sintenisius) εἰς τὸ θέατρον ἐποιήσατο τῷ (τῇ cod.) θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας [ἀπὸ φυλῆς

---

v. 17 col. 3 Σαλαμίνιαι rectius alias v. 17 col. 4 Ὑδροφόροι corr. in edit. v. 19 col. 1 Διονύσου τροφοί secundum Nauckium Dindorfiumque; diversas iudicat Welckerus v. 20 col. 1 Φρύγιαι alii; pro dittographia habet Dindorfius. Aliunde de his constat fabulis: Γλαῦκος Ποτνιεύς Θαλαμοποιοί Ἱέρειαι Παλαμήδης Σίσυφος πετροκυλιστής Φινεύς Ὠρείθυια; dubiae sunt Ἀλκμήνη Κύκνος aliae. Cf. I, 12; II. Quod nuper e museo Piraeico protractum est laterculi fragmentum post Cumanudem Hirschfeldumque accuratius descriptum a Wilamowitzio in Anal. Eurip. Berol. a. 1875 p. 138 sqq., nullas Aeschyli fabulas enumerat, sed scriptionem quandam [Π]ΕΡΙ ΑΙΣΧΥΛΟΥ.

LXXXVIII. ἀπὸ — ἕκαστον pro additamento habeo; ἑκάστης G. Hermannus progr. Lips. a. 1834 p. 7; ἑκάστης ἕνα Sauppius 'Ber. d. saechs. Ges. d. W.' a. 1855 p. 15; ἕνα ἑκάστης Helbigius 'Zschr. f. d. Gymnasialw.' a. 1862 p. 99.

μιᾶς ἕκαστον]. ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε. νικήσαντος δὲ τοῦ Σοφοκλέους λέγεται τὸν Αἰσχύλον περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα χρόνον οὐ πολὺν Ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

LXXXIX Aristophanes Ran. v. 807 (819) c. Schol.

Οὔτε γὰρ Ἀθηναίοισι συνέβαιν' Αἰσχύλος] ὡς φαύλων περὶ τὰς [ἀπο]κρίσεις ὄντων οὐκ ἐστοίχησεν.

XC Ex vita Sophoclis p. 16, 91 I.

Συνηγωνίσατο δὲ καὶ Αἰσχύλῳ καὶ Εὐριπίδῃ καὶ Χοιρίλῳ καὶ Ἀριστίᾳ καὶ ἄλλοις πολλοῖς καὶ Ἰοφῶντι τῷ υἱῷ.

XCI Dio Chrysostomus or. LII p. 158, 6 Dind.

Καὶ ἐλογιζόμην πρὸς ἐμαυτὸν ὅτι τότε Ἀθήνησιν ὢν οὐχ οἷός τ' ἂν ἦν μετασχεῖν τῶν ἀνδρῶν ἐκείνων ἀνταγωνιζομένων, ἀλλὰ Σοφοκλέους μὲν πρὸς Αἰσχύλον, νέου πρὸς γέροντα, καὶ πρὸς Εὐριπίδην, πρεσβυτέρου πρὸς νεώτερον, ἀγωνιζομένου μετέσχον τινές. Εὐριπίδης δ' ἀπελείφθη κατὰ τὴν ἡλικίαν Αἰσχύλου· καὶ ἅμα οὐ πολλάκις ἴσως ἢ οὐδέποτε τῷ αὐτῷ δράματι ἀντηγωνίσαντο.

XCII Arg. Aesch. Pers.

Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ Πέρσαις Γλαύκῳ (Ποτνιεῖ add. schol. rec.) Προμηθεῖ.

XCIII Arg. Aesch. Sept. c. Th.

Ἐδιδάχθη ἐπὶ Θεαγενίδου (θεαγενους) ὀλυμπιάδι οη'. ἐνίκα Λαΐῳ Οἰδίποδι Ἑπτὰ ἐπὶ Θήβας Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίας (ἀριστίων) Περσεῖ Ταντάλῳ * Παλαισταῖς σατυρικοῖς τοῖς Πρατίνου πατρός (πρς). τρίτος Πολυφράδμων (πολυφράσμων) Λυκουργ(ε)ίᾳ τετραλογίᾳ.

XCIV Aristophanes Ran. v. 1021 sq. (1053) c. Schol.

ΑΙΣΧ. δρᾶμα ποιήσας Ἄρεως μεστόν ΔΙΟΝ. ποῖον; ΑΙΣΧ. τοὺς Ἕπτ' ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.

οἱ Πέρσαι πρότερον δεδιδαγμένοι εἰσίν, εἶτα οἱ Ἑπτὰ ἐπὶ Θήβας· νῦν δὲ τὸ ὕστερον πρότερον εἶπε. πλὴν οὐδὲ τῷ

XC. καὶ Ἀριστίας om. cod. nonnulli; καὶ Χοιρίλῳ καὶ Ἀριστίᾳ del. Dindorfius.

XCIII. Lacunam Dindorfius indicavit, cetera correxit Franzius; pro σατυρικοῖς scribendum puto σατύροις.

But he must have been at Athens several months at least before *Septem* was produced.

XCV. cf. ἔπειτα μετὰ ταῦτα Philemon 92⁵, ἔπειτά ἐστι τούτοις Antiphanes 81.4

So Rav., ἠγγέλθη Par. D. and one Flor. MS.
XCVI. τῇ νίκῃ ἀκούσας παρὰ Δαρείου Fritzsche. Van L.
ἰαυοῖ vox vulgaris sermonis for ἰωά P. 664. αἰαί 672.

[illegible] 1.264

9. Χοῖρις: scholar · Aristarchus · Διορθωτικά defended · readings · Arist. Wrote comm. on Pindar. Cites ~ scholia · Aristoph. only here and on Vesp. 672. Also περὶ γραμματικῆς

13. Herodicus · Babylon ; scholar · Crates, who was in Rome in 167. Wrote Κωμῳδούμενα.

15. Dittrich 1067 Keeps δεδιδάχθαι, the meaning ~ · same as Vita · ἀναδιδάξαι
J. Schöne mann R.M. 42 (1887) 467 Herodicea: i.e. between 472 and 467 H. uses "reworked play". Herodicus drew on Eratosth.

[illegible]

C. I. G. 2. 977a
name Αἰ[σ]χύ[λος —]. XCVI b

Wilhelm U. v Kunden d. ann. Auff. Aufführungen in Athen p. 101

ποιητῇ ἐγκλητέον. οὐδὲ γάρ ἐστιν ἀκριβῶcαι τὸ τοιοῦτον, οὐδὲ τοῖc ἀπελέγχουcιν αὐτόν.

Aristophanes Ran. v. 1026 (1058) c. Schol. XCV

ΑΙCΧ. εἶτα διδάξαc Πέρcαc μετὰ τοῦτ᾽ ἐπιθυμεῖν ἐξεδίδαξα
νικᾶν ἀεὶ τοὺc ἀντιπάλουc, κοcμήcαc ἔργον ἄριcτον.

.. τὸ δὲ εἶτα καὶ τὸ μετὰ τοῦτο οὐ θέλουcιν ἀκούειν πρὸc τὰc διδαcκαλίαc, ἀλλ᾽ ἐν ἴcῳ τῷ καὶ τοῦτο ἐδίδαξα καὶ τὸ ἕτερον.

Schol. ad Aristophanis Ran. v. 1028 sq. (1060). XCVI

ἐχάρην † γοῦν, ἡνίκ᾽ ἤκουcα περὶ Δαρείου τεθνεῶτοc,
ὁ χορὸc δ᾽ εὐθὺc τὼ χεῖρ᾽ ὡδὶ cυγκρούcαc εἶπεν ἰαυοῖ.

ἐν τοῖc φερομένοιc Αἰcχύλου Πέρcαιc οὔτε Δαρείου θάνατοc ἀπαγγέλλεται οὔτε χορὸc τὰc χεῖραc cυγκρούcαc λέγει ἰαυοῖ, ἀλλὰ τὰ μὲν πράγματα ὑπόκειται ἐν Coύcoιc, καὶ περίφοβόc ἐcτιν ἡ μήτηρ Ξέρξου ἐξ ὀνείρου τινόc, χορὸc δὲ Περcῶν γερόντων διαλεγόμενοc πρὸc αὐτήν, εἶτα ἄγγελοc ἀπαγγέλλων τὴν περὶ Cαλαμῖνα ναυμαχίαν καὶ τὴν Ξέρξου φυγήν. Χαῖριc δέ φηcι τὸ Δαρείου ἀντὶ τοῦ Ξέρξου. cύνηθεc γὰρ τοῖc ποιηταῖc ἐπὶ τῶν υἱῶν τοῖc τῶν πατέρων ὀνόμαcι χρῆcθαι. πρὸc ὅν ἐcτιν εἰπεῖν ὅτι ἐν τῷ δράματι λέγεται· 'Ξέρξηc μὲν αὐτὸc ζῇ τε καὶ βλέπει φάοc.' Ἡρόδικοc δέ φηcι διττὰc γεγονέναι τὰc καθέcειc καὶ τὴν τραγῳδίαν ταύτην περιέχειν τὴν ἐν Πλαταιαῖc μάχην. δοκοῦcι δὲ οὗτοι οἱ Πέρcαι ἀπὸ τοῦ Αἰcχύλου δεδιδάχθαι ἐν Cυρακούcαιc, cπουδάcαντοc Ἱέρωνοc, ὥc φηcιν Ἐρατοcθένηc ἐν γʹ περὶ κωμῳδιῶν. Ἄλλωc. Δίδυμοc, ὅτι οὐ περιέχουcι θάνατον Δαρείου οἱ Πέρcαι τὸ δρᾶμα. διὸ τινὲc διττὰc καθέcειc [τουτέcτι διδαcκαλίαc] τῶν Περcῶν φαcι, καὶ τὴν μίαν μὴ φέρεcθαι. τινὲc δὲ γράφουcιν [Δαρείου] τοῦ Ξέρξου. οἱ δὲ ὅτι τοῖc κυρίοιc ἀντὶ τῶν πατρωνυμικῶν κέχρηνται καὶ ὅτι ὁ Ξέρξηc, οἱ δέ, ὅτι εἴδωλον Δαρείου φθέγγεται, ἐκείνου τεθνηκότοc δηλονότι.

XCVI. 13 διττοῦ (δίχα Naekius) γεγονέναι τοῦ θανάτου cod., corr. Dobraeus 15 ἀναδεδιδάχθαι Langius l. s. s. p. 7 19 καθέcειc Casaubonus ad Athen. VI p. 235 E; καταθέcειc V, θέcειc cet.; uncos posuit M. Schmidtius Didym. p. 250 20 Δαρείου del. Dindorfius, defendit Schmidtius Chaeridis sententiam tangi putans, ad quem insequentia potius pertinent 22 ἐκεῖ cod., corr. Dobraeus.

XCVII Arg. Aesch. Agam.
Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι π′ (κη cod.) ἔτει β′. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι Χοηφόροις Εὐμενίσι Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

DE TETRALOGIARVM COMPOSITIONE

XCVIII Laertius Diogenes III, 56. 61.
Θρασύλος δέ φησι καὶ κατὰ τὴν τραγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς διαλόγους· (οἷον ἐκεῖνοι τέτρασι δράμασιν ἠγωνίζοντο [Διονυσίοις Ληναίοις Παναθηναίοις Χύτροις] ὧν τὸ τέταρτον ἦν σατυρικόν. τὰ δὲ τέτταρα δράματα ἐκαλεῖτο τετραλογία) .... ἔνιοι δέ, ὧν ἐστι καὶ Ἀριστοφάνης ὁ γραμματικός, εἰς τριλογίας ἕλκουσι τοὺς διαλόγους.

XCIX Plutarchus Pericl. c. V.
Ἀλλ’ Ἴωνα μέν, ὥσπερ τραγικὴν διδασκαλίαν, ἀξιοῦντα τὴν ἀρετὴν ἔχειν τι πάντως καὶ σατυρικὸν μέρος ἐῶμεν.

C Schol. ad Aristophanis Ran. v. 1124 (1155).
Τετραλογίαν φέρουσι τὴν Ὀρέστειαν αἱ διδασκαλίαι, Ἀγαμέμνονα Χοηφόρους Εὐμενίδας Πρωτέα σατυρικόν. Ἀρίσταρχος καὶ Ἀπολλώνιος τριλογίαν λέγουσι, χωρὶς τοῦ σατυρικοῦ.

CI Schol. ad Aristophanis Thesmophor. v. 135 (142) sq.
κατ’ Αἰσχύλον ἐκ τῆς Λυκουργείας] τὴν τετραλογίαν λέγει, Ἠδωνοὺς Βασσαρίδας Νεανίσκους Λυκοῦργον τὸν σατυρικόν.

CII Schol. Med. ad Prom. v. 511 et v. 94.
Οὔπω μοι λυθῆναι μεμοίραται· ἐν γὰρ τῷ ἑξῆς δράματι λύεται, ὅπερ ἐμφαίνει Αἰσχύλος.
τὸν μυριετῆ] πολυετῆ· ἐν γὰρ τῷ πυρφόρῳ γ′ μυριάδας φησὶ δεδέσθαι αὐτόν (cf. Hyginus II, 15).

XCVIII. Verba Διονυσίοις — Χύτροις omnes, verba οἷον — τετραλογία cum Cobeto nonnulli pro interpolatione habent. — Cf. Laertius D. IX, 7, 45: τὰ δὲ βιβλί’ αὐτοῦ (sc. τοῦ Δημοκρίτου) καὶ Θρασύλος ἀναγέγραφε κατὰ τάξιν οὕτως ὡσπερεὶ καὶ τὰ Πλάτωνος, κατὰ τετραλογίαν.

C. τῶν σατυρικῶν cod., corr. Nauckius Trag. frg. p. 55; an: τριλογίας — σατυρικῶν? — Cf. XCII; XCIII; XCVII; LXXII; LXXIII; CVII adn.; Aelianus V. h. II, 8; arg. Eur. Alc.

CI. Cf. Schol. ad Theocr. id. X, 18: Ἀρίσταρχος ἐν ὑπομνήματι Λυκούργου Αἰσχύλου.

Ἐφ. ἀρχ. 1886 part iv. p. 269 list of victories at the City Dionysia [ἐπὶ Φιλο]κλέους, and among them τραγῳδῶν Ξενοκλῆς Ἀφιδναῖος, Αἰσχύλος ἐδί-δαξεν

DE ÆSCHYLI RE SCÆNICA

Aristoteles Art. poet. c. IV p. 1449 a. CIII

Γενομένης οὖν ἀπ' ἀρχῆς αὐτοσχεδιαστικῆς, καὶ αὐτὴ (sc. ἡ τραγῳδία) καὶ ἡ κωμῳδία καὶ ἡ μὲν ἀπὸ τῶν ἐξαρχόντων τὸν διθύραμβον, ἡ δὲ ἀπὸ τῶν τὰ φαλλικὰ . . . ., κατὰ μικρὸν ηὐξήθη προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς, καὶ πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο, ἐπεὶ ἔσχε τὴν αὑτῆς φύσιν. καὶ τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε καὶ τὰ τοῦ χοροῦ ἠλάττωσε καὶ τὸν λόγον πρωταγωνιστὴν παρεσκεύασεν, τρεῖς δὲ καὶ σκηνογραφίαν Σοφοκλῆς. ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ λέξεως γελοίας διὰ τὸ ἐκ σατυρικοῦ μεταβαλεῖν ὀψὲ ἀπεσεμνύνθη. τό τε μέτρον ἐκ τετραμέτρου ἰαμβεῖον ἐγένετο· τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο διὰ τὸ σατυρικὴν καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν, λέξεως δὲ γενομένης αὐτὴ ἡ φύσις τὸ οἰκεῖον μέτρον εὗρε, μάλιστα γὰρ λεκτικὸν τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστιν . . . . . ἔτι δὲ ἐπεισοδίων πλήθη. καὶ τὰ ἄλλ' ὡς ἕκαστα κοσμηθῆναι λέγεται ἔστω ἡμῖν εἰρημένα. πολὺ γὰρ ἂν ἴσως ἔργον εἴη διεξιέναι καθ' ἕκαστον.

Themistius or. XXVI p. 382, 14 Dind. CIV

Ἀλλὰ καὶ ἡ σεμνὴ τραγῳδία μετὰ πάσης ὁμοῦ τῆς σκευῆς καὶ τοῦ χοροῦ καὶ τῶν ὑποκριτῶν παρελήλυθεν εἰς τὸ θέατρον; καὶ οὐ προσέχομεν Ἀριστοτέλει ὅτι τὸ μὲν πρῶτον ὁ χορὸς

CIII. 7 post φύσιν lacunam statuit Ueberwegius ex Themistii or. XXVI fortasse explendam 17 ἄλλα ὡς apogr., ἄλλως cod. Par. 1741, ἄλλα οἷς Hermannus; idem δέχεται pro λέγεται (ἐνδέχεται Knebelius); verba [ἔτι δὲ] ἐπεισοδίων πλήθη καὶ τὰ ἄλλ' — λέγεται post ἔτι δὲ τὸ μέγεθος — μύθων καὶ (10) cum Usenero transposuit Susemihlius Sophocli haec continuans; ante ἔστω cum apogr. duobus περὶ μὲν οὖν τούτων τοσαῦτα supplent Ueberwegius ac Susemihlius, qui verba περὶ μὲν οὖν — καθ' ἕκαστον cum Thurotio ad posteriorem locum relegat. Ceterum cf. Aristoteles προβλ. XIX, 31: διὰ τί οἱ περὶ Φρύνιχον ἦσαν μᾶλλον μελοποιοί; ἢ διὰ τὸ πολλαπλάσια εἶναι τότε τὰ μέλη ἐν ταῖς τραγῳδίαις τῶν μέτρων;

CIV. τρίτον β' ὑποκριτὰς Usenerus, τρίτον ὑποκριτὴν vulgo; sed τρίτον ὑποκριτὰς cod. Ambr.; τρεῖς ὑποκριτὰς Dindorfius; Αἰσχύλος δὲ ὑποκριτὰς Iahnius, διττοὺς ὑποκριτὰς Bernaysius 'Dial. d. Arist.' p. 139. Cf. I, 12; II; CXXV.

εἰσιὼν ᾖδεν εἰς τοὺς θεούς, Θέσπις δὲ πρόλογόν τε καὶ ῥῆσιν ἐξεῦρεν, Αἰσχύλος δὲ τρίτον β' ὑποκριτὰς καὶ ὀκρίβαντας, τὰ δὲ πλείω τούτων Σοφοκλέους ἀπελαύσαμεν καὶ Εὐριπίδου;

CV Laertius Diogenes III, 56.

Ὥσπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορόν, καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς καὶ συνεπλήρωσεν (συνεπλήρωσαν cod., corr. Usenerus Mus. Rhen. t. XXV p. 579) τὴν τραγῳδίαν· οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικός, δεύτερον δὲ Σωκράτης προσέθηκε τὸν ἠθικόν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν.

CVI Ex vita Sophoclis p. 3, 22 I.

(Σοφοκλῆς) πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι, πρῶτον μὲν καταλύσας τὴν ὑπόκρισιν τοῦ ποιητοῦ διὰ τὴν ἰδίαν μικροφωνίαν — πάλαι γὰρ καὶ ὁ ποιητὴς ὑπεκρίνετο — αὐτὸς δὲ καὶ τοὺς χορευτὰς ποιήσας ἀντὶ ιβ' ιε'· καὶ τὸν τρίτον ὑποκριτὴν ἐξεῦρεν.

CVII Suidas v. Σοφοκλῆς.

Οὗτος πρῶτος τρισὶν ἐχρήσατο ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ, καὶ πρῶτος τὸν χορὸν ἐκ πεντεκαίδεκα εἰσήγαγε νέων, πρότερον δυοκαίδεκα εἰσιόντων. προσηγορεύθη δὲ μέλιττα διὰ τὸ γλυκύ· καὶ † αὐτὸς (πρῶτος Bergkius) ἦρξε τοῦ δρᾶμα πρὸς δρᾶμα ἀγωνίζεσθαι, ἀλλὰ μὴ στρατολογεῖσθαι.

CVI. κακοφωνίαν vel ἰσχνοφωνίαν cod. nonnulli. καὶ ante ὁ ποιητὴς om. duo. Cf. Aristoteles Art. rhet. III, 1 p. 1403: ὑπεκρίνοντο γὰρ αὐτοὶ τὰς τραγῳδίας οἱ ποιηταὶ τὸ πρῶτον. Ante αὐτὸς distinguens servavi consentientem fere codicum scripturam, pro qua αὐτὸς· καὶ τοὺς Westermannus, αὐτός, τοὺς δὲ Bergkius, Iahnius.

CVII. Pro νέων Dindorfius προσώπων, συγκείμενον Usenerus l. s. s. p. 582, νέος ὢν D. Volkmannus de Suid. biogr. p. 4. In extremis στρατολογεῖσθαι AV, στρατολογίαν B, στρατολογ' E; τετραλογίαν Meursius Soph. p. 90, τετραλογεῖσθαι (vel διὰ τετραλογίαν) Naekius de Choer. p. 9 assentientibus fere omnibus, quorum Usenerus praeterea διορίζεσθαι pro ἀγωνίζεσθαι proposuit; Dindorfius totum locum cum eis, quae infra exstant apud Suidam, πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος ad Phrynichum refert sic conformatum: καὶ αὐτὸς ἦρξε τοῦ μὴ δρ. πρ. δρ. ἀγ., ἀλλὰ τετραλογίαν.

Schol. Demosth. de cor. 267 et de falsa legat. CVIII
200 = Suidas s. v.
Τριταγωνιστήν· — ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς καὶ τῷ καλουμένῳ τριταγωνιστῇ.

Hesychius, Photius, Suidas s. v. CIX
Νεμήσεις ὑποκριτῶν· οἱ ποιηταὶ ἐλάμβανον τρεῖς ὑποκριτὰς κλήρῳ νεμηθέντας ὑποκρινομένους τὰ δράματα· ὧν ὁ νικήσας εἰς τοὐπιὸν ἄκριτος παρελαμβάνετο.

Schol. Med. ad Choeph. 899. CX
Μετεσκεύασται ὁ ἐξάγγελος εἰς Πυλάδην, ἵνα μὴ δ' λέγωσιν.

Horatius Art. poet. v. 192. CXI

. . . nec quarta loqui persona laboret.

Pollux Onom. IV, 109 sq. CXII
Ὁπότε μὴν ἀντὶ τετάρτου ὑποκριτοῦ δέοι τινὰ τῶν χορευτῶν εἰπεῖν ἐν ᾠδῇ, παρασκήνιον καλεῖται τὸ πρᾶγμα, ὡς ἐν Ἀγαμέμνονι Αἰσχύλου (ὡς — Αἰσχύλου del. Dindorfius). εἰ δὲ τέταρτος ὑποκριτής τι παραφθέγξαιτο, τοῦτο παραχορήγημα ὀνομάζεται, καὶ πεπρᾶχθαί φασιν αὐτὸ ἐν Μέμνονι (Ἀγαμέμνονι al.) Αἰσχύλου.

Schol. Med. ad Prom. v. 12. CXIII
Ἐν παραχορηγήματι αὐτῷ εἰδωλοποιηθεῖσα Βία.

Schol. Med. ad Eum. (in summo margine paginae, CXIV
quae incipit a v. 597).
Ἐν παραχορηγήματι (περιχωρήματι cod., corr. Dindorfius) αὐτῷ εἰσιν οἱ Ἀρεοπαγῖται μηδαμοῦ διαλεγόμενοι.

Schol. ad Aristophanis Eq. v. 589 (586). CXV
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα] .... οἱ γὰρ τῆς ἀρχαίας κωμῳ-

CXV. ὁ μὲν κωμικὸς om. VΘ, qui etiam verbis κδ' — Ἀγαμέμνονι carent, unde Dindorfius ea pro recentioris grammatici additamento habet; in extremis δεῖν, quod post φασίν collocat Θ, omittendum duco. Cf. Schol. ad Av. v. 298 οὑτοσὶ πέρδιξ] ἀπὸ τούτου ἡ καταρίθμησις τῶν εἰς τὸν χορὸν συντεινόντων προσώπων κδ', ἐν περιττῷ ληφθέντων τῶν προκατειλεγμένων. ὁ δὲ τραγικὸς ιε' πρόσωπα ἔχει. Suidas v. χορός· χορὸς τραγικὸς ἐκ ιε' προσώπων, χορὸς κωμικὸς ἐξ κδ'; Schol. ad Dion. Thr. Anecd. gr. p. 746 Bk.: οἱ γὰρ χορευταὶ αὐτῶν ἐν τετραγώνῳ σχήματι ἱστάμενοι τὰ τῶν τραγικῶν ἐπεδείκνυντο. ἦσαν δὲ τῶν μὲν τραγικῶν χορευταὶ δέκα τέσσαρες, τῶν δὲ κωμικῶν εἴκοσι τέσσαρες. ἕκαστος οὖν ὁ ποιητὴς τραγικὸς καὶ κωμικὸς εἶχε τούτους προεκμανθάνοντας τὰ ἑαυτοῦ καὶ τρεφομένους ἀπὸ τοῦ δημοσίου. Cf. I, 18 adn. (p. 7).

De re scaenica.

δίας ποιηταὶ καὶ τραγικοὶ χοροὺς ἵςταςαν, οἳ τὰ χορικὰ ὑπεκρίνοντο καὶ ᾖδον μέλη. cυνειςτήκει δὲ ὁ χορὸς [ὁ μὲν κωμικὸς] ἐξ ἀνδρῶν ἤδη καὶ γυναικῶν, ὁμοῦ δὲ καὶ ἐκ παίδων, [κδ', ὡς καὶ οὗτος ἀπηρίθμηςεν ἐν Ὄρνιςιν, ἄρρενας μὲν ὄρνις ιβ', θηλείας δὲ τοςαύτας. ὁ δὲ τραγικὸς ιε', ὡς Αἰςχύλος Ἀγαμέμνονι.] ἔςτι δ' ὅτε καὶ ἡμιχόρια ἵςταντο ἤτοι ἐξ ἀνδρῶν καὶ γυναικῶν. ἐν δὲ τοῖς τοιούτοις χοροῖς, εἰ μὲν ἐξ ἀνδρῶν εἴη καὶ γυναικῶν ὁ χορός, ἐπλεονέκτει τὸ τῶν ἀνδρῶν μέρος καὶ ἦςαν ιγ', αἱ δὲ γυναῖκες ἕνδεκα. εἰ δὲ παίδων εἴη καὶ γυναικῶν, αἱ μὲν γυναῖκες ιγ' ἦςαν, οἱ δὲ παῖδες ια'. εἰ δὲ πρεςβυτῶν καὶ νέων, τοὺς πρεςβύτας πλεονεκτεῖν [δεῖν] φαςιν.

CXVI Schol. Med. ad Eum. v. 585.

Πολλαὶ μέν ἐςμεν] τοῦτο οὐ πρὸς τὰς τρεῖς, ἀλλὰ πρὸς τὸν χορόν. ιε' γὰρ ἦςαν.

CXVII Pollux Onom. IV, 108 sqq.

Μέρη δὲ χοροῦ ςτοῖχος καὶ ζυγόν. καὶ τραγικοῦ μὲν χοροῦ ζυγὰ πέντε ἐκ τριῶν καὶ ςτοῖχοι τρεῖς ἐκ πέντε· πεντεκαίδεκα γὰρ ἦςαν ὁ χορός. καὶ κατὰ τρεῖς μὲν εἰςῄεςαν, εἰ κατὰ ζυγὰ γίνοιτο ἡ πάροδος, εἰ δὲ κατὰ ςτοίχους, ἀνὰ πέντε εἰςῄεςαν. ἔςθ' ὅτε δὲ καὶ καθ' ἕνα ἐποιοῦντο τὴν πάροδον ..... τὸ δὲ παλαιὸν ὁ τραγικὸς χορὸς πεντήκοντα ἦςαν, ἄχρι τῶν Εὐμενίδων Αἰςχύλου· πρὸς δὲ τὸν ὄχλον αὐτῶν τοῦ πλήθους ἐκπτοηθέντος ςυνέςτειλεν ὁ νόμος εἰς ἐλάττω ἀριθμὸν τὸν χορόν.

CXVIII Aristophanes Ran. v. 1060 sqq.

ΑΙCΧ. κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμαςι μείζοςι χρῆςθαι·
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ ςεμνοτέροιςιν.
ἁμοῦ χρηςτῶς καταδείξαντος διελυμήνω ςύ

CXIX Schol. ad Dionysium Thracem p. 746 Bk.

Ἐπιδεικνύμενοι δὲ τῶν ἡρώων ὡςανεὶ τὰ αὐτῶν πρόςωπα, πρῶτον μὲν ἐπελέγοντο ἄνδρας τοὺς μείζονα φωνὴν ἔχοντας, δεύτερον δὲ βουλόμενοι καὶ τὰ ςώματα δεικνύειν ἡρωικά, ἐμβάδας ἐφόρουν καὶ ἱμάτια ποδήρη.

CXX Philostratus vit. sophist. I, 9 p. 11 K.

Cικελία Γοργίαν ἐν Λεοντίνοις ἤνεγκεν, ἐς ὃν ἀναφέρειν ἡγώμεθα τὴν τῶν ςοφιςτῶν τέχνην, ὥςπερ ἐς πατέρα· εἰ γὰρ τὸν Αἰςχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο ἐςθῆτί τε αὐτὴν καταςκευάςας (λαμπρᾷ vel tale quid add. Bernhardyus) καὶ ὀκρίβαντι ὑψηλῷ καὶ ἡρώων εἴδεςιν ἀγγέλοις

Körte, Festschrift zur 49ten Versam. deutscher Phil. u. Schulmänner 1907. p. 198 maintains that this passage [as to the development] in Frogs is the source of the entire later tradition concerning costume of actors.

τε καὶ ἐξαγγέλοις καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, τοῦτο ἂν εἴη καὶ ὁ Γοργίας τοῖς ὁμοτέχνοις.

Horatius Art. poet. v. 276 sqq. CXXI

Dicitur et plaustris vexisse poemata Thespis,
Quae canerent agerentque peruncti faecibus ora.
Post hunc personae pallaeque repertor honestae
Aeschylus et modicis instravit pulpita tignis
Et docuit magnumque loqui nitique cothurno.

Porphyrio ad Hor. l. s. s. v. 278. CXXII

Aeschylus primus tragoediis (tragoedis? *Meyerus*) coturnos et syrma et personam dedit. horum enim trium auctor est.

Pausanias I, 28, 6. CXXIII

Πρῶτος δέ σφισιν (sc. Ἐρινύσιν) Αἰσχύλος δράκοντας ἐποίησεν ὁμοῦ ταῖς ἐν τῇ κεφαλῇ θριξὶν εἶναι· τοῖς δὲ ἀγάλμασιν οὔτε τούτοις ἔπεστιν οὐδὲν φοβερόν, οὔτε ὅσα ἄλλα κεῖται θεῶν τῶν ὑπογαίων.

Pollux Onom. IV, 130. CXXIV

Ἀπὸ δὲ τοῦ θεολογείου ὄντος ὑπὲρ τὴν σκηνὴν ἐν ὕψει ἐπιφαίνονται θεοί, ὡς ὁ Ζεὺς καὶ οἱ περὶ αὐτὸν ἐν Ψυχοστασίᾳ. ἡ δὲ γέρανος μηχάνημά ἐστιν ἐκ μετεώρου καταφερόμενον ἐφ' ἁρπαγῇ σώματος, ᾧ κέχρηται Ἠὼς ἁρπάζουσα τὸ σῶμα τοῦ (τὸ cod., corr. Nauckius Trag. frg. p. 69) Μέμνονος.

E cod. Par. 2720 (Cramer Anecd. Par. I p. 19). CXXV

Εἰ μὲν δὴ πάντα τις Αἰσχύλῳ βούλεται τὰ περὶ τὴν σκηνὴν εὑρήματα προσνέμειν, ἐκκυκλήματα καὶ περιάκτους (περιάκιους aut περιάκισις cod., corr. Sommerbrodtius de Aesch. re scen. p. XXI; περικύκλους Cramer.) καὶ μηχανάς, ἐξώστρα τε καὶ παρασκήνια (προσκήνια cod., corr. Sommerbrodtius) καὶ διστεγίας, καὶ κεραυνοσκοπεῖα καὶ βροντεῖα καὶ θεολογεῖα καὶ γεράνους, καί που καὶ ξυστίδας καὶ βατραχίδας καὶ πρόσωπα καὶ κοθόρνους καὶ ταυτὶ τὰ ποικίλα, σύρματά τε καὶ καλύπτραν καὶ κόλπωμα καὶ παράπηχυ καὶ ἀργηνὸν καὶ ὑποκριτὴν ἐπὶ τῷ δευτέρῳ τὸν τρίτον (τῶν τρίτων cod., corr. Sommerbrodtius)· ἢ καὶ Σοφοκλῆς ἔστιν ἃ τούτων προσεμηχανήσατο καὶ προσ-

---

CXXI. Cf. I, 2. 12; II. Suidas v. Χοιρίλος: οὗτος κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ (σκηνῇ cod., corr. Kusterus) τῶν στολῶν ἐπεχείρησε — Cf. LXXXV; lexicogr. v. ἴκρια; Suidas v. αἴγειρος.

ἐξεῦρεν. ἔστι τοῖς βουλομένοις ὑπὲρ τούτων ἐρίζειν καὶ ἕλκειν ἐπ' ἄμφω τὴν φήμην τοῦ λόγου. τήν γε μὴν γλυκύτητα τὴν τῶν ἐπῶν καὶ τὴν φαιδρότητα καὶ τὴν καλλιφωνίαν καὶ τὴν ἐν τοῖς μέλεσι σωφροσύνην καὶ τὰς ἐπὶ τοῖς δράμασι συμπλοκὰς οὔτ' ἂν αὐτὸς αἰσχυνθείην (αἰσχυνθείη A. Schoenius) Σοφοκλεῖ νέμων· καὶ τὸν Ἀριστοφάνην ἀποδέχομαι λέγοντα· 'Σοφοκλέους τοῦ μέλιτι κεκραμένου ὥσπερ καδίσκου περιέλειχεν τὸ στόμα.'

CXXVI Philostratus vit. Apoll. VI, 11 p. 219 K.

Ἐντυχὼν τε αὐτοῖς (sc. τοῖς Ἰνδοῖς) ἔπαθόν τι πρὸς τὴν ἐπαγγελίαν τῶν ἀνδρῶν, ὁποῖον λέγονται πρὸς τὴν Αἰσχύλου σοφίαν παθεῖν Ἀθηναῖοι· ποιητὴς μὲν γὰρ οὗτος τραγῳδίας ἐγένετο, τὴν τέχνην δὲ ὁρῶν ἀκατάσκευόν τε καὶ μήπω κεκοσμημένην εἰ μὲν ξυνέστειλε τοὺς χοροὺς ἀποτάδην ὄντας, ἢ τὰς τῶν ὑποκριτῶν ἀντιλέξεις εὗρε παραιτησάμενος τὸ τῶν μονῳδιῶν μῆκος, ἢ τὸ ὑπὸ σκηνῆς ἀποθνήσκειν ἐπενόησεν, ὡς μὴ ἐν φανερῷ σφάττοι, σοφίας μὲν μηδὲ ταῦτα ἀπηλλάχθω, δοκείτω δὲ κἂν ἑτέρῳ παρασχεῖν ἔννοιαν ἧττον δεξιῷ τὴν ποίησιν, ὁ δ' ἐνθυμηθεὶς μὲν ἑαυτόν, ὡς ἐπάξιον τοῦ τραγῳδίαν ποιεῖν φθέγγοιτο, ἐνθυμηθεὶς δὲ καὶ τὴν τέχνην, ὡς προσφυᾶ τῷ μεγαλείῳ μᾶλλον ἢ τῷ καταβεβλημένῳ τε καὶ ὑπὸ πόδα, σκευοποιίας μὲν ἥψατο εἰκασμένης τοῖς τῶν ἡρώων εἴδεσιν, ὀκρίβαντος δὲ τοὺς ὑποκριτὰς ἐνεβίβασεν, ὡς ἴσα ἐκείνοις βαίνοιεν, ἐσθήμασί τε πρῶτος ἐκόσμησεν, ἃ πρόσφορον ἥρωσί τε καὶ ἡρωίσιν ἠσθῆσθαι, ὅθεν Ἀθηναῖοι πατέρα μὲν αὐτὸν τῆς τραγῳδίας ἡγοῦντο.

CXXVII Athenaeus I p. 21 D—F.

Καὶ Αἰσχύλος δὲ οὐ μόνον ἐξεῦρε τὴν τῆς στολῆς εὐπρέπειαν καὶ σεμνότητα, ἣν ζηλώσαντες οἱ ἱεροφάνται καὶ δᾳδοῦχοι ἀμφιέννυνται, ἀλλὰ καὶ πολλὰ σχήματα ὀρχηστικὰ αὐτὸς ἐξευρίσκων ἀνεδίδου τοῖς χορευταῖς. Χαμαιλέων γοῦν πρῶτον αὐτόν φησι σχηματίσαι τοὺς χοροὺς ὀρχηστοδιδασκάλοις οὐ χρησάμενον, ἀλλὰ καὶ αὐτὸν τοῖς χοροῖς τὰ σχήματα ποιοῦντα τῶν ὀρχήσεων, καὶ ὅλως πᾶσαν τὴν τῆς τραγῳδίας οἰκονομίαν εἰς ἑαυτὸν περιιστᾶν. ὑπεκρίνετο γοῦν μετὰ τοῦ εἰκότος τὰ δράματα. Ἀριστοφάνης γοῦν — παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις — ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα· 'τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν' καὶ πάλιν· 'τοὺς Φρύγας

CXXVII. v. 2 an ἣν δηλώσοντες κτλ.? ζηλώσας ἣν vel ζηλώσας ἄντικρυς ἣν Fritzschius ed. Ran. p. 343; cf. Lobeckius Aglaoph. p. 84.

CXXVI. ἐπ' ὀκρίβαντας K. K. Smith H.S.C.P. XVI (1905) 123–164.

Kock 2. 47

Kock I p. 558. frag. 677.

οἶδα θεωρῶν, ὅτε τῷ Πριάμῳ cυλλυcόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα, πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο cχηματίcαντας (cχηματίcαντες Meinekius Cur. crit. p. 10).'

Athenaeus I p. 22 A. CXXVIII

'Αριcτοκλῆc γοῦν φηcιν ὅτι Τελέcτηc ὁ Αἰcχύλου ὀρχηcτὴc οὕτωc ἦν τεχνίτηc, ὥcτε ἐν τῷ ὀρχεῖcθαι τοὺc 'Επτὰ ἐπὶ Θήβαc φανερὰ ποιῆcαι τὰ πράγματα δι' ὀρχήcεωc.

Hesychius s. v. CXXIX

'Εμμέλεια· εἶδοc ὀρχήcεωc. καὶ Πλάτων ἐπαινεῖ τὴν ὄρχηcιν . . . . τραγικὴ δὲ ἡ ὄρχηcιc. † 'Αργυρίοιc δὲ Αἰcχύλοc ἀντὶ τοῦ cατυρική, ἥ ἐcτι cίκιννιc.

Aristoteles Art. poet. c. XXVI p. 1461 a CXXX

ὡc λίαν γὰρ ὑπερβάλλοντα 'πίθηκον' ὁ Μυννίcκοc τὸν Καλλιππίδην ἐκάλει.

Aristophanes Vesp. v. 579 (577) c. Schol. CXXXI

κἂν Οἴαγροc εἰcέλθῃ φεύγων, οὐκ ἀποφεύγει πρὶν ἂν ἡμῖν
ἐκ τῆc Νιόβηc εἴπῃ ῥῆcιν τὴν καλλίcτην ἀπολέξαc.

ὅτι τραγικὸc ὑποκριτὴc ὁ Οἴαγροc, εἴρηται πρότερον. ὡc θαυμάζων δὲ αὐτόν φηcιν, ὅτι κἂν ἐκεῖνοc ὁ μέγαc καταδικαcθῇ. ἐκ τῆc Νιόβηc δέ, καὶ γὰρ ὑπεκρίθη τὴν Νιόβην ἢ Cοφοκλέουc ἢ Αἰcχύλου.

(Alciphron Epist. III, 48. (Κεφαλογλύπτηc Μαππαφανίcῳ). CXXXII

Κακὸc κακῶc ἀπόλοιτο καὶ ἄφωνοc εἴη Λικύμνιοc ὁ τῆc τραγῳδίαc ὑποκριτήc. ὡc γὰρ ἐνίκα τοὺc ἀντιτέχνουc Κριτίαν τὸν Κλεωναῖον καὶ "Ιππαcον τὸν 'Αμβρακιώτην τοὺc Αἰcχύλου Προπομποὺc τορῷ τινι καὶ γεγωνῷ τῷ φωνήματι χρηcάμενοc, γαῦροc ἦν καὶ κιττοcτεφὴc ἦγε cυμπόcιον.)

CXXIX. cατυρική — cικήνηc cod.; ἀκύρωc δὲ Αἰcχύλοc ἀντὶ τῆc cατυρικῆc Bothius; Αἰcχύλοc 'Αργείοιc· ἦν δὲ καὶ cατυρικὴ Hermannus Opusc. t. VII p. 207 cum Meursio. An: ἀντὶ τοῦ * (intercidit vox, pro qua ἐμμέλεια adhibuerit) cατυρικὴ δέ ἐcτιν cίκιννιc?

CXXX. Cf. I, 13.

CXXXI. Eodem Dindorfius pertinere vidit schol. v. 566 (564): οἱ δὲ λέγουcιν μύθουc ἡμῖν, οἱ δ' Αἰcώπου τι γελοῖον] Αἴcωποc τραγῳδίαc ἐγένετο ὑποκριτὴc γελοιώδηc· Αἰcχύλου δὲ ἦν ὑποκριτήc, ubi etiam γελοιώδηc illatum esse putaverim, cum loco motum esset scholion.

CXXXIII Vitruvius de archit. VII praef. 11.

Primum Agatharchus Athenis Aeschylo docente tragoediam scaenam fecit et de ea commentarium reliquit. ex eo moniti Democritus et Anaxagoras de eadem re scripserunt, quem ad modum oporteat ad aciem oculorum radiorumque extentionem certo loco centro constituto lineas ratione naturali respondere, uti de incerta re certae imagines aedificiorum in scaenarum picturis redderent speciem et quae in directis planisque frontibus sint figurata, alia abscedentia alia prominentia esse videantur.

DE ÆSCHYLI POESI IVDICIA

CXXXIV Aristoteles Art. poet. c. XVIII p. 1456 a.

Ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος ὥσπερ Εὐριπίδης, ἢ Νιόβην καὶ μὴ ὥσπερ Αἰσχύλος, ἢ ἐκπίπτουσιν ἢ κακῶς ἀγωνίζονται, ἐπεὶ καὶ Ἀγάθων ἐξέπεσεν ἐν τούτῳ μόνῳ.

CXXXV Plutarchus de aud. poet. p. 17 A.

Ἐπὶ τοῦ Διὸς εἰρηκότος Ὁμήρου· 'ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο, ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ, ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων' τραγῳδίαν ὁ Αἰσχύλος ὅλην τῷ μύθῳ περιέθηκεν, ἐπιγράψας Ψυχοστασίαν καὶ παραστήσας ταῖς πλάστιγξι τοῦ Διὸς ἔνθεν μὲν τὴν Θέτιν ἔνθεν δὲ τὴν Ἠῶ δεομένας ὑπὲρ τῶν υἱέων μαχομένων.

CXXXVI Schol. A ad Il. Θ, 70.

δύο κῆρε] ... ὅτι τὰς θανατηφόρους μοίρας λέγει. ὁ δὲ Αἰσχύλος νομίσας λέγεσθαι τὰς ψυχάς, ἐποίησε τὴν Ψυχοστασίαν, ἐν ᾗ ἐστι ὁ Ζεὺς ἱστὰς ἐν τῷ ζυγῷ τὴν τοῦ Μέμνονος καὶ Ἀχιλλέως ψυχήν.

CXXXIV. Εὐριπίδης ἢ Νιόβην pro Εὐριπίδης Νιόβην Vahlenus; Εὐριπίδης Ἑκάβην (G. Valla) ἢ (Tyrwhittus) ὥσπερ Hermannus, qui postea Νιόβην—Αἰσχύλος delebat; Νιόβην etiam Nitzschius 'Sagenp.' p. 605 sq. (mutato simul μὴ in μὴν ex Bothii sententia); ὥσπερ Εὐριπίδης—Αἰσχύλος Welckerus includebat Mus. Rhen. a. 1837 p. 594 sqq.; Εὐριπίδης ἢ Κλεοφῶν καὶ μὴ Susemihlius proposuit. — Cf. I, 5; CIII; CXXV.

CXXXVI. Cf. Porphyrius ad h. l. et Eustathius p. 699, 28.

Müller Bühnenalt. p. 116.
Arist. Poet. 1449a regards Soph. as 'introducer of scene-painting
cf. Jebb Dict. Ant. ii. 816a. Dörpfeld 200—. Niejahr Quaest. Aristoph.
scaenicae p. 7 n. 3

Who Aristotle has in mind is uncertain. There are several tragedies called Ἰλίου πέρσις or simply Πέρσις:— Iophon, Nichomachus, Cleophon. Bywater thinks Ag. may have been one' member who dealt with subject in its entirety

Hiw: this as CXXXVI, shows that Ψυχ. dealt of death of Memnon, not of Hector. Leaf on X 209: Apparently A. took 'idea' weighing and transferred to scene with characteristic determination' Greek artist, have a free hand with his materials, which tales, general avoidance by tragedians' few opportunities offered by Iliad & Od. for dramatic treatment. The weighing soul after death is a familiar symbol in Egyptian religion, and may also have had its influence A.

Diple >- (also > or ⊰ or <) a general mark of reference to the commentaries placed against a verse containing anything notable either in language or in matter.

<u>τούτων</u> : children of Iphimedea and Aloeus whose death was caused by Apollo.

Paterculus

Una, neque multorum annorum spatio divisa, aetas per divini spiritus viros, Aeschylum, Sophoclem, Euripidem illustravit tragoediam.

He is illustrating "theory" tendency of intellectual powers to form separate groups. See De Quincey X. 196

Schol. A ad Il. X, 209. CXXXVII
ἡ διπλῆ ὅτι ἐντεῦθεν ἡ Ψυχοστασία Αἰσχύλου πέπλασται, ὡς τοῦ Διὸς τὰς ψυχὰς ἱστάντος, οὐ θανατηφόρους μοίρας.

Pausanias II, 20, 4. CXXXVIII
Ἐπανιόντι δὲ ἐκεῖθεν ἀνδριάντες ἑστήκασι Πολυνείκους τοῦ Οἰδίποδος καὶ ὅσοι σὺν ἐκείνῳ τῶν ἐν τέλει πρὸς τὸ τεῖχος μαχόμενοι τὸ Θηβαίων ἐτελεύτησαν. τούτους τοὺς ἄνδρας ἐς μόνων ἑπτὰ ἀριθμὸν κατήγαγεν Αἰσχύλος πλειόνων ἔκ τε Ἄργους ἡγεμόνων καὶ Μεσσήνης καί τινων καὶ Ἀρκάδων στρατευσαμένων. τούτων δὲ τῶν ἑπτά — ἐπηκολουθήκασι γὰρ καὶ Ἀργεῖοι τῇ Αἰσχύλου ποιήσει — πλησίον κεῖνται καὶ οἱ Θήβας ἑλόντες.

Pausanias IX, 22, 6. CXXXIX
Τούτων τε δή ἐστι τῇ Ἀνθηδόνι μνήματα, καὶ ἐπὶ τῇ θαλάσσῃ καλούμενον Γλαύκου πήδημα. εἶναι δὲ αὐτὸν ἁλιέα καὶ ἐπεὶ τῆς πόας ἔφαγε, δαίμονα ἐν θαλάσσῃ γενέσθαι καὶ ἀνθρώποις τὰ ἐσόμενα ἐς τόδε προλέγειν οἵ τε ἄλλοι πιστὰ ἥγηνται, καὶ οἱ τὴν θάλασσαν πλέοντες πλεῖστα ἀνθρώπων ἐς τὴν Γλαύκου μαντικὴν κατὰ ἔτος ἕκαστον λέγουσι. Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ ἐς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ ἐς ποίησιν δράματος ἐξήρκεσε.

Arg. Aesch. Pers. CXL
Γλαῦκος ἐν τοῖς περὶ Αἰσχύλου μύθων ἐκ τῶν Φοινισσῶν φησι Φρυνίχου τοὺς Πέρσας παραπεποιῆσθαι. ἐκτίθησι δὲ καὶ τὴν ἀρχὴν τοῦ δράματος ταύτην· 'Τάδ' ἐστὶ Περσῶν τῶν πάλαι βεβηκότων.' πλὴν ἐκεῖ εὐνοῦχός ἐστιν ἀγγέλλων ἐν ἀρχῇ τὴν τοῦ Ξέρξου ἧτταν, στορνύς τε θρόνους τινὰς τοῖς τῆς ἀρχῆς παρέδροις, ἐνταῦθα δὲ προλογίζει χορὸς πρεσβυτῶν.

Plutarchus Quaest. conv. I, 1 p. 615 A. CXLI
Ὥσπερ οὖν Φρυνίχου καὶ Αἰσχύλου τὴν τραγῳδίαν εἰς μύθους καὶ πάθη προαγαγόντων ἐλέχθη τὸ 'τί ταῦτα πρὸς τὸν Διόνυσον;' οὕτως ἔμοιγε πολλάκις εἰπεῖν παρέστη πρὸς τοὺς ἕλκοντας εἰς τὰ συμπόσια τὸν κυριεύοντα, 'ὦ ἄνθρωπε, τί ταῦτα πρὸς τὸν Διόνυσον;'

CXXXVII. Cf. schol. B ad h. l. et Eustathius p. 1266, 38.

CXLI. Cf. Zenobius V, 40: ἐπειδὴ τῶν χορῶν ἐξ ἀρχῆς εἰθισμένων διθύραμβον ᾄδειν εἰς τὸν Διόνυσον, οἱ ποιηταὶ ὕστερον ἐκβάντες τὴν συνήθειαν ταύτην Αἴαντας (Γίγαντας Bentleius) καὶ Κενταύρους γρά-

CXLII Aristophanes Ran. v. 1040 sqq.

ΑΙϹΧ. ἡμὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίηϲεν,
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην
ἀντεκτείνειν αὑτὸν τούτοις, ὁπόταν ϲάλπιγγος ἀκούϲῃ.
ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ Cθενεβοίας,
οὐδ' οἶδ' οὐδεὶς ἥντιν' ἐρῶσαν πώποτ' ἐποίηϲα γυναῖκα.

CXLIII Athenaeus XIII p. 601 A.

Οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, καὶ οὐδεὶς ἡγεῖτο φορτικοὺς τοὺς ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος μέγας (σεμνὸς Meinekius Anal. crit. p. 285) ὢν ποιητὴς καὶ Σοφοκλῆς ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν τοὺς ἔρωτας, ὃ μὲν τὸν Ἀχιλλέως πρὸς Πάτροκλον, ὃ δ' ἐν τῇ Νιόβῃ τὸν τῶν παίδων· διὸ καὶ παιδεράστριάν (παιδερατάν cod., corr. Schweighaeuserus) τινες καλοῦσι τὴν τραγῳδίαν· κἀπεδέχοντο (καὶ ἐδέχοντο cod., corr. Meinekius l. s. s. p. 7) τὰ τοιαῦτα ᾄσματα οἱ θεαταί.

CXLIV Athenaeus I p. 17 C.

Τῶν δ' ἄλλων ποιητῶν ἔνιοι τὰς καθ' αὑτοὺς πολυτελείας καὶ

φειν ἐπεχείρουν· ὅθεν οἱ θεώμενοι σκώπτοντες ἔλεγον 'οὐδὲν πρὸς τὸν Διόνυσον'. διὰ γοῦν τοῦτο τοὺς Σατύρους ὕστερον ἔδοξεν αὐτοῖς προεισάγειν (προσεισάγειν Hermannus Eur. Cycl. praef. p. XI), ἵνα μὴ δοκῶσιν ἐπιλανθάνεσθαι τοῦ θεοῦ. Apostolius XIII, 42 = Photius lex. = Suidas v. Οὐδὲν πρ. τ. Δ.: Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς αὐτὸν ποιήσαντος (οὐ ποιήσαντος Thierschius ad Pind. t. I p. 151; εἰς τὸν Ἄδραστον ποι. Müllerus Dor. t. II p. 367) ἐπεφώνησάν τινες τοῦτο, ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως. τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες, τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγετο. ὕστερον δὲ μεταβάντες εἰς τὸ τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν μηκέτι τοῦ θεοῦ μνημονεύοντες· ὅθεν καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ περὶ Θέσπιδος παραπλήσια ἱστορεῖ. Θεαίτητος δὲ ἐν τῷ περὶ παροιμίας Παρράσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον, τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρρασίου Διόνυσον, ἐπιφωνεῖν· 'τί πρὸς τὸν Διόνυσον;' Strabo VIII, 6, 23 p. 381: ὀνομάζει (sc. Πολύβιος) δ' αὐτῶν Ἀριστείδου γραφὴν τοῦ Διονύσου, ἐφ' οὗ τινες εἰρῆσθαί φασι τὸ 'οὐδὲν πρὸς τὸν Διόνυσον.' Herodotus V, 67: τά τε δὴ ἄλλα οἱ Σικυώνιοι ἐτίμεον τὸν Ἄδρηστον καὶ δὴ πρὸς τὰ πάθεα αὐτοῦ τραγικοῖσι χοροῖσι ἐγέραιρον, τὸν μὲν Διόνυσον οὐ τιμέοντες, τὸν δὲ Ἄδρηστον. Κλεισθένης δὲ χοροὺς μὲν τῷ Διονύσῳ ἀπέδωκε, τὴν δὲ ἄλλην θυσίην τῷ Μελανίππῳ,

CXLIV. Cf. XL sqq.

fr. 135 s. (Μυρμιδόνες): σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω,
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων

136: μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία

p. 180 (Ὀστολόγοι) ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος
γελωτοποιόν, τὴν κάκοσμον οὐράνην,
ἔρριψεν οὐδ' ἥμαρτε· περὶ δ' ἐμῷ κάρᾳ
πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη
χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοί.

[illegible]

of Priam surrounded by a children at Troy.

ῥαθυμίας ἀνέπεμπον ὡς οὔσας καὶ κατὰ τὰ τρωικά. Αἰσχύλος γοῦν ἀπρεπῶς που παράγει μεθύοντας τοὺς Ἕλληνας, ὡς καὶ τὰς ἀμίδας ἀλλήλοις περικαταγνύναι.

Aristophanes Ran. v. 909 sqq. c. Schol. v. 911 (942). CXLV

ΕΥΡ. . . . . οἵοις τε τοὺς θεατὰς
ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέντας.
πρώτιστα μὲν γὰρ ἕνα τιν᾽ ἂν καθῖσεν ἐγκαλύψας,
Ἀχιλλέα τιν᾽ ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
. . . . . ὁ δὲ χορός γ᾽ ἤρειδεν ὁρμαθοὺς ἂν
μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ᾽ ἐσίγων.

ὡς αὐτοῦ εἰσφέροντος ἐν δράματι τινὰ κεκαλυμμένον. ὁ Ἀχιλλεὺς δὲ καθήμενός ἐστι καὶ οὐκ ἀποκρινόμενος παρ᾽ Αἰσχύλῳ ἐν δράματι ἐπιγραφομένῳ Φρυξὶν ἢ Ἕκτορος λύτροις. οὐδὲν δὲ ὁ Ἀχιλλεὺς φθέγγεται. Ἄλλως. εἰκὸς τὸν ἐν τοῖς Φρυξὶν Ἀχιλλέα ἢ Ἕκτορος λύτροις· ἢ τὸν ἐν Μυρμιδόσιν, ὃς μέχρι τριῶν [ἡ]μερῶν οὐδὲν φθέγγεται . . . . . [τὸ δέ, οἱ δ᾽ ἐσίγων, ὁ Ἀχιλλεύς, φασί, καὶ ἡ Νιόβη.]

Schol. Med. ad Prom. v. 436. CXLVI

Μή τοι χλιδῇ δοκεῖτε μηδ᾽ αὐθαδίᾳ Σιγᾶν με] σιωπῶσι γὰρ παρὰ ποιηταῖς τὰ πρόσωπα ἢ δι᾽ αὐθάδειαν, ὡς Ἀχιλλεὺς ἐν τοῖς Φρυξὶ [Σοφοκλέους] ἢ διὰ συμφοράν, ὡς ἡ Νιόβη παρ᾽ Αἰσχύλῳ, ἢ διὰ περίσκεψιν, ὡς ὁ Ζεὺς παρὰ τῷ ποιητῇ πρὸς τὴν τῆς Θέτιδος αἴτησιν.

Eustathius ad Il. Ω, 162 p. 1343, 62. CXLVII

Ὑπερβολὴν γάρ, φασί, πένθους ἀξίαν οὐχ εὑρίσκων ὁ ποιητὴς τῷ γέροντι περιθεῖναι, καλύπτει αὐτὸν καὶ οὐ μόνον σιγῶντα ποιεῖ, ἀλλὰ καὶ μηδὲ βλεπόμενον. ἐντεῦθεν, φασίν, ὁ Σικυώνιος γραφεὺς Τιμάνθης (Σημάνθης cod., corr. Nauckius Trag. frg. p. 38) τὴν ἐν Αὐλίδι γράφων σφαγὴν τῆς Ἰφιγενείας ἐκάλυψε τὸν Ἀγαμέμνονα, ὅπερ καὶ Αἰσχύλος μιμησάμενος τήν τε Νιόβην καὶ ἄλλα πρόσωπα ὁμοίως ἐσχημάτισε, σκωπτόμενος μὲν ὑπὸ τοῦ κωμικοῦ, ἐπαινούμενος δὲ ἄλλως διὰ τὸ τῆς μιμήσεως ἀξιόχρεων. οὐ γὰρ μόνον βλέπεσθαι ἀπαξιοῖ ὁ ἐν ἄκρᾳ θλίψει, ἀλλ᾽ οὐδὲ βλέπει, ὡς οἷα νύκτερον βίον αἱρούμενος ἢ καὶ ὑπόγαιον.

CXLV. Cf. I, 5.

CXLVIII **Eustathius ad Od. ψ, 115 p. 1941, 1.**

Σημείωσαι δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι τραγῳδικῶς τὰ περὶ τὸν Ὀδυσσέα νῦν ἐσχημάτισται. καὶ γάρ τοι παρὰ Αἰσχύλῳ κάθηνταί που πρόσωπα σιωπῶντα ἐφ' ἱκανὸν κατὰ σχῆμα ἢ πένθους ἢ θαυμασμοῦ ἢ τινος ἑτεροίου πάθους. καὶ ἔοικεν ἡ τραγῳδία ἐντεῦθεν λαβοῦσα τὰ τοιαῦτα σοφίζεσθαι.

CXLIX **Pausanias II, 13, 5.**

Τῷ Ἀριστίᾳ Σάτυροι καὶ Πρατίνᾳ τῷ πατρί εἰσι πεποιημένοι πλὴν τῶν Αἰσχύλου δοκιμώτατα.

CL **Laertius Diogenes II, 17, 133.**

Ἠσπάζετο δὲ (sc. Μενέδημος) καὶ Ἄρατον καὶ Λυκόφρονα τὸν τῆς τραγῳδίας ποιητὴν καὶ τὸν Ῥόδιον Ἀνταγόραν· μάλιστα δὲ πάντων Ὁμήρῳ προσεῖχεν· εἶτα καὶ τοῖς μελικοῖς· ἔπειτα Σοφοκλεῖ, καὶ δὴ καὶ Ἀχαιῷ, ᾧπερ καὶ τὸ δευτερεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. ὅθεν καὶ πρὸς τοὺς ἀντιπολιτευομένους ταῦτα, φασί, προεφέρετο· "Ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχύς, Καὶ πρὸς χελώνης ἀετὸς βραχεῖ χρόνῳ.' ταῦτα δ' ἐστὶν Ἀχαιοῦ ἐκ τῆς σατυρικῆς Ὀμφάλης.

CLI **Aristophanes Ran. v. 1252 sqq.**

Φροντίζειν γὰρ ἔγωγ' ἔχω,
τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δὴ
καὶ κάλλιστα μέλη ποιή-
σαντι τῶν ἔτι νυνί.
θαυμάζω γὰρ ἔγωγ', ὅπῃ
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα.

CLII **Aristophanes Ran. v. 1298 sqq. c. Schol. (1333).**

ΑΙΣΧ. ἀλλ' οὖν ἐγὼ μὲν ἐς τὸ καλὸν ἐκ τοῦ καλοῦ
ἤνεγκον αὔθ', ἵνα μὴ τὸν αὐτὸν Φρυνίχῳ
λειμῶνα Μουσῶν ἱερὸν ὀφθείην δρέπων.

CXLIX. Is. Tzetzes περὶ διαφορᾶς ποιητῶν (Cramer An. Ox. t. III) p. 337, 5: Τραγῳδίας μάνθανε τοὺς διδασκάλους· Θέσπιν Φρύνιχον Αἰσχύλον Σοφοκλέα· Ὕστατος αὐτὸς Εὐριπίδης Μνησάρχου, Κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα· Σατυρικὸν δὲ Πραττίναν οἶδα μόνον. Idem proleg. ad Lycophr. p. 256: Τραγῳδοὶ δὲ ποιηταὶ Ἀρίων Θέσπις Φρύνιχος Αἰσχύλος Σοφοκλῆς Εὐριπίδης Ἴων Ἀχαιὸς καὶ ἕτεροι μύριοι νέοι... Σατυρικὸς δὲ Πρατίνας καὶ ἕτεροι.

CLII. Inclusi αὐτὰ (αὐτοῦ R), cum V Θ post φησὶν exhibeant, omittat Suidas v. ἐγὼ μέν.

φ115 Od.. Tel. νῦν δ' ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἷμαι
τοὔνεκ' ἀτιμάζει (Pen.) με.

Menedemus, founder of Eretriac school of ph. [illegible] – death about 277 B.C. in the seventy-fourth year of age.

Achaeus born 484, appeared as a playwright 448: he was dead in 406. Satyr plays: Αἴθων, Ἀλκμέων, Ἥφαιστος, Ἶρις, Λίνος, Ὀμφάλη etc. Half of fragments are from satyr plays. In Alex., together with Ion, he was ranked with great three. Style graceful but obscure. Nauck² 746-759

Eurip. said vs. 1297: ἢ πόθεν συλλέξας ἱμονιοστρόφου μέλη;

chromatic scale differed from diatonic in having tetrachord divided into less simple intervals. See Monro Modes A.G. Music

Pherecrates' Κραπατάλοι, from κ. a worthless kind of fish, ἄνοος = μωρός Hesych. The k. was used for δραχμή in Hades acc. to Pherecr.

ἐγώ, φηςίν, εἰς τὸ καλὸν ἐκ τοῦ καλοῦ [αὐτὰ] μετήνεγκα. ἐκ γὰρ τοῦ κιθαρῳδικοῦ καλοῦ ὄντος εἰς τὸ τραγῳδικὸν (τραγικὸν Suidas) μετήνεγκα, ἵνα μὴ εἰς ταὐτὰ τοῖς ὑπὸ Φρυνίχου μέλεςι προειςηγμένοις ἐμπίπτω. ἀποδέχονται δὲ πάντες τοῖς μέλεςι τὸν Φρύνιχον ἐπιτυγχάνοντα ...... ἵνα μὴ τὰ αὐτὰ τῷ Φρυνίχῳ μελοποιῶ. ἦν δὲ οὗτος μελοποιὸς ἡδύς. ὁ δὲ λόγος, ἐκ τῶν κιθαρῳδικῶν εἰς τὸ τραγικὸν γένος μετήνεγκα. τοῦτο γὰρ ὁ Εὐριπίδης προεῖπεν.

Schol. ad Aristophanis Ran. v. 1282 (1315). CLIII

ΕΥΡ. μὴ πρίν γ' ἀκούςῃς χἀτέραν ςτάςιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργαςμένην.

Τιμαχίδας γράφει, ὡς τῷ ὀρθίῳ νόμῳ κεχρημένου τοῦ Αἰςχύλου καὶ ἀνατεταμένως.

Aristoxenus apud Plutarchum de mus. c. XX. CLIV

Οἷόν τι καὶ ἐπὶ τῶν τῆς τραγῳδίας ποιητῶν· τῷ γὰρ χρωματικῷ γένει [καὶ τῷ ῥυθμῷ] τραγῳδία μὲν οὐδέπω καὶ τήμερον κέχρηται, κιθάρα δὲ πολλαῖς γενεαῖς πρεςβυτέρα τραγῳδίας οὖςα ἐξ ἀρχῆς ἐχρήςατο. . . . . εἰ οὖν τις Αἰςχύλον ἢ Φρύνιχον φαίη δι' ἄγνοιαν ἀπέςχῆςθαι τοῦ χρώματος, ἆρά γ' οὐκ ἂν ἄτοπος εἴη;

Aristophanes Ran. v. 1004 sq. CLV

πρῶτος τῶν Ἑλλήνων πυργώςας ῥήματα ςεμνὰ
καὶ κοςμήςας τραγικὸν λῆρον.

Schol. ad Aristophanis Pac. v. 749. CLVI

ἐποίηςε τέχνην (Aristophanes) μεγάλην ἡμῖν κἀπύργωςʼ οἰκοδομήςας] ταὐτὸ καὶ Φερεκράτης ἐποίηςε τὸν Αἰςχύλον λέγοντα ἐν τοῖς Κραπατάλοις 'ὅςτις γ' αὐτοῖς παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήςας.'

CLIII. ςυνεχῶς vel simile adverbium post Αἰςχύλου desiderat Fritzschius ad h. l. p. 378. Ceterum cf. Suidas v. Εὐγένειος· ἔγραψε κωλομετρίαν τῶν μελικῶν Αἰςχύλου Σοφοκλέους καὶ Εὐριπίδου ἀπὸ δραμάτων ιε'.

CLIV. Pro καὶ τῷ ῥυθμῷ R. Volkmannus ex Valgulii versione substituit καὶ τῷ ἐναρμονίῳ, καὶ τῷ πρὸς τοῦτο ῥυθμῷ Westphalius: utrumque parum apte nec eis quae secuntur accommodatum; fortasse interpolata sunt verba ex c. XXI: ἀπεςχημένους χρώματός τε καὶ μεταβολῆς καὶ πολυχορδίας καὶ ἄλλων πολλῶν ἐν μέςῳ ὄντων ῥυθμῶν τε καὶ ἁρμονιῶν.

CLVI. ταὐτὸ scripsi; τοῦτο R, Ald., ταῦτα V ὅςτις αὐτοῖς — παρέδωκε cod., corr. Porsonus.

CLVII Dioscorides (Anth. Pal. VII, 411).

Θέcπιδος εὕρεμα τοῦτο, τὰ δ' ἀγροιῶτιν ἀν' ὕλαν
 παίγνια, καὶ κώμους τούcδε τελειοτέρους
Αἰcχύλος ἐξύψωcεν, ὁ μὴ cμιλευτὰ χαράξας
 γράμματα, χειμάρρῳ δ' οἷα καταρδόμενα,
καὶ τὰ κατὰ cκηνὴν μετεκαίνιcεν. ὦ cτόμα πάντων
 † δεξιόν, ἀρχαίων ἦcθά τις ἡμιθέων.

CLVIII Himerius or. XXXIII, 4 p. 874 Wernsd.

Θέλω δὲ καὶ πρόcφορον τοῖc παροῦcιν ἔργοιc * μ * γῆν περιπολεῖν ἅπαcαν, ἀεί τι cοφὸν ἀνιχνεύοντα· ἐλθεῖν μὲν οὖν αὐτὸν ἐπὶ * ἀφικέcθαι δὲ καὶ παρ' Αἰγυπτίους καὶ τί μὲν οὐ μαθεῖν παρ' αὐτοῖc cοφόν, τί δὲ οὐ χρηcτὸν * ἐπεὶ δὲ ἀφικέcθαι εἰc Ἕλληνας εὑρεῖν μὲν Αἰcχύλον ἔτι νέον ὄντα μετὰ Θέcπιν * οντας ἄρτι τὴν ποίηcιν ὑψοῦ χαμόθεν ἐγείροντα, ἵν' ἐκ μετεώρου τοῖc θεαταῖc διαλέγοιτο * λὰ ὁμιλεῖν ἅμα τῷ παιδὶ τοῖc τοῦ Αἰcχύλου ποιήμαcιν, ἵνα τραγικὴν ἱcτορίαν ἐκ τῶν *

CLIX Aristophanes Ran. v. 939 sqq.

ΕΥΡ. ὡc παρέλαβον τὴν τέχνην παρὰ cοῦ τὸ πρῶτον εὐθὺc
 οἰδοῦcαν ὑπὸ κομπαcμάτων καὶ ῥημάτων ἐπαχθῶν,
 ἴcχνανα μὲν πρώτιcτον αὐτὴν καὶ τὸ βάροc ἀφεῖλον.

CLX Plutarchus de prof. in virt. 7 p. 79 B.

Ὥcπερ γὰρ ὁ Coφoκλῆc ἔλεγε, τὸν Αἰcχύλου διαπεπαιχὼc ὄγκον, εἶτα τὸ πικρὸν καὶ κατάτεχνον τῆc αὐτοῦ καταcκευῆc, τρίτον

CLVII. v. 1 τὸ δ' cod., τὰ δ' ed, τά τ' Heckerus v. 2 τοὺc δέ cod., Bentleius; τοὺc δ' ἀτελειοτέρουc Iacobsius v. 3 ἐξύψωcε νομηc μια εὐταχαράξαc cod., corr. Salmasius; νεοcμίλευτα Bentleius; νοήcει δευτὰ Pauwius v. 4 δ' ἶcα καταρδόμενα Heckerus; καλινδόμενα Duebnerus v. 5 πάντωc Bothius v. 6 ἄξιον Reiskius; post δεξιόν (non post ἀρχαίων) cum Bentleio distingui iussit Iacobsius; ὦ cτόμα πάντων ἄξιον ἀρχαίων, ἦcθά τιc ἡμιθέων Duebnerus proposuit. Cf. XXXII sq.

CLVIII. Supplementa Wernsdorfii: 2 ἀποτείνειν διήγημα. τὸν Coφoκλέα (?) λόγοc πατρίδοc ἐξανιcτάμενον 4 τοὺc Φοίνικαc καὶ Πέρcαc 5 ὅτε καὶ μήτηρ cοφῶν λόγων ἦν ἡ τούτων χώρα 6 καὶ Φρύνιχον τοὺc πρώτουc τὴν τοῦ θεάτρου cκευὴν ἀνευρόνταc 8 ἠcθέντα οὖν τῇ τοῦ τραγῳδοῦ cοφίᾳ πολλὰ 9 δραμάτων αὐτὸc ἐν τοῖc αὐτοῦ μιμήcαιτο. De Sophocle cogitari non posse non est quod dicam.

CLX. 2 διαπεπεφθὼc vel διαπεφευγὼc A. Schoellius Sophokl. p. 71, διαπεπλακὼc Bergkius, διαπεπλιχὼc Bernhardyus t. II, 2 p. 305 ed. II, διαπεπλοχὼc A. Schoenius 3 πυκνὸν Xylander, ψυχρόν, γλιcχρόν, περιττὸν

D. lived after comic poet Machon and before Antipater of Sidon who imitates him. (pm 150 B.C.-m.) Title VII. 411. Εἰς τὸν αὐτὸν Θέσπιν (VII. 410 ~ hono. Thespis). ἐν ᾧ καὶ περὶ Αἰσχύλου τοῦ μετ' ἐκεῖνον τὴν τραγῳδίαν πυργώσαντος

1. τοῦτο: no comma. Stadtm. i.e. it is accus.

6. δεξιόν accepted Stadtm. as correct, but puts the † before πάντων

4. καταρδ.: κυλινδόμενα Dübner, κατερχόμενα Herwerden, καταδρομέα Ludwich

· W. M. Aeschylos p. 234 finds in poem D. an echo of fondness of the Hellenistic period for archaic poetry.

"After I had played out the bombast of A. (played with it till I had worn it out), and then pungency and artificiality of my own composition, I discovered at last the form of expression which contains the highest degree of 'Ethos' (I would say, in German, Innerlichkeit, inwardness, but we understand it better in Greek) and is the best'. The second statement is one which no changes would have ventured to make. I find it absolutely appropriate, for Sophokles' style to the end kept much of artificiality; hence innumerable alterations which every savant to-day rejects ... The old critics, with their complaints about his unevenness (ἀνωμαλία), had right on their side. From a letter of Wilam.-M. to T. H. Warren (Essays of Poets & Poetry. p. 328)

cf. LXXIX. Soph. παρ' Αἰσ. τὴν τραγῳδίαν ἤσκει

κατάτεχνον: formalität (Schaefer), Sch.: point is that Soph. has gone through various stages and surmounted certain obstacles, and he deems perfect. τὸ ... κατασκ. is Soph. own art at one of the stages. Endeavoring to avoid the pomp of Aesch. fell into the πικρὸν etc. (harte Schärfe). dialectic style is more liable to vice of a too purposed and formal composition, with too great stress on logic

Bergk found examples of ὄγκος in S.' fragments. austerity and over artifice in Ant. El. O.T. 3rd class Phil. O.C.

Bauh. denies examples

πέπαικα late perf. of παίζω (Menander πέπαικα)

Bauh. contrasts πολλὰ τὰ δεινὰ Ant. 332 & πολλὰ μὲν γᾶ τρέφει Ch. for plastic clarity & easy marking of member. Best Pathos A.

The change in form cannot per se produce truth of characterization
The change must be psychologically justified

[Eur. criticized adversely S. El. v. 1, and S in turn objected to Phoen. 1-2: Schol. Phoen. 1]

Lii Περὶ Αἰσχύλου καὶ Σοφοκλέους καὶ Εὐριπίδου ἢ περὶ τῶν Φιλοκτήτου τόξων

W. M. Aesch. p. 234: Selbst Dion weiss dem Philoktet wirklich kaum etwas Besonderes abzugewinnen.

6. ἐπιβεβ.: Keinen künstlichen oder verwickelten Plan (Bernhardy)

8. δριμύν: keen, shrewd = Cycl. 104,
while now "candor and grand sentiments are nothing more than affectation"

12. Le soin intelligent que E met dans tous les détails pour ne rien laisser d'invraisemblable, pour ne rien négliger, pour ne pas exposer les choses avec trop de sécheresse mais en les ornant de toutes les ressources du style forme une contraste avec le talent d'A. Il est plein d'art, l'éloquence et d'utile leçons pour ses lecteurs
16. πολιτ.: excited = a citizen's common life, received πολιτικός
τῶν ὀνομάτων τὰ π. Isocr. 190 E.

ἤδη τὸ τῆς λέξεως μεταβάλλειν εἶδος, ὅπερ ἠθικώτατόν ἐστι καὶ βέλτιστον· οὕτως οἱ φιλοσοφοῦντες, ὅταν ἐκ τῶν πανηγυρικῶν καὶ κατατέχνων εἰς τὸν ἁπτόμενον ἤθους καὶ πάθους λόγον μεταβῶσιν, ἄρχονται τὴν ἀληθῆ προκοπὴν προκόπτειν καὶ ἄτυφον.

Dio Chrysostomus Or. LII p. 158, 15 D. CLXI

Οὐκοῦν ἐχορήγουν ἐμαυτῷ πάνυ λαμπρῶς καὶ προσέχειν ἐπειρώμην, ὥσπερ δικαστὴς τῶν πρώτων τραγικῶν χορῶν. πλὴν ὀμόσας γε οὐκ ἂν ἐδυνάμην ἀποφήνασθαι οὐδέν, οὗ γε ἕνεκεν οὐδεὶς ἂν ἡττήθη τῶν ἀνδρῶν ἐκείνων. ἥ τε γὰρ τοῦ Αἰσχύλου μεγαλοφροσύνη καὶ τὸ ἀρχαῖον, ἔτι δὲ τὸ αὔθαδες τῆς διανοίας καὶ φράσεως, πρέποντα ἐφαίνετο τραγῳδίᾳ καὶ τοῖς παλαιοῖς ἤθεσι τῶν ἡρώων, οὐδὲν ἐπιβεβουλευμένον οὐδὲ στωμύλον οὐδὲ ταπεινόν· ἐπεί τοι καὶ τὸν Ὀδυσσέα εἰσῆγε δριμὺν καὶ δόλιον, ὡς ἐν τοῖς τότε, πολὺ δὲ ἀπέχοντα τῆς νῦν κακοηθείας, ὥστε τῷ ὄντι ἀρχαῖον ἂν δόξαι παρὰ τοὺς νῦν ἁπλοῦς εἶναι βουλομένους καὶ μεγαλόφρονας..... p. 160, 21: ἥ τε τοῦ Εὐριπίδου σύνεσις καὶ περὶ πάντα ἐπιμέλεια, ὥστε μήτε ἀπίθανόν τι καὶ παρημελημένον ἐᾶσαι μήτε ἁπλῶς τοῖς πράγμασι χρῆσθαι, ἀλλὰ μετὰ πάσης ἐν τῷ εἰπεῖν δυνάμεως, ὥσπερ ἀντίστροφός ἐστι τῇ τοῦ Αἰσχύλου ἁπλότητι (ἁπλότητι addidi cum Reiskio, cf. p. 158, 27; 159, 15. 16), πολιτικωτάτη καὶ ῥητορικωτάτη οὖσα καὶ τοῖς ἐντυγχάνουσι πλείστην ὠφέλειαν παρασχεῖν δυναμένη . . . p. 161, 29: ὅ τε Σοφοκλῆς μέσος ἔοικεν ἀμφοῖν εἶναι, οὔτε τὸ αὔθαδες καὶ ἁπλοῦν τὸ τοῦ Αἰσχύλου ἔχων οὔτε τὸ ἀκριβὲς καὶ δριμὺ καὶ πολιτικὸν τὸ τοῦ Εὐριπίδου, σεμνὴν δέ τινα καὶ μεγαλοπρεπῆ ποίησιν τραγικώτατα καὶ εὐεπέστατα ἔχουσαν, ὥστε πλείστην ἡδονὴν μετὰ ὕψους καὶ σεμνότητος ἐνδείκνυσθαι.

Dionysius Halic. de vet. script. cens. II, 10 p. 422 R. CLXII

Ὁ δ' οὖν Αἰσχύλος, πρῶτος καὶ τῆς μεγαλοπρεπείας ἐχόμενος καὶ ἠθῶν καὶ παθῶν τὸ πρέπον εἰδὼς καὶ τῇ τροπικῇ καὶ τῇ κυρίᾳ λέξει διαφερόντως κεκοσμημένος· πολλαχοῦ δὲ καὶ αὐτὸς

περίεργον, πανηγυρικὸν tentavit Wyttenbachius, μικρὸν Iahnius, ἐπίκαιρον A. Schoenius   αὐτοῦ E. Muellerus 'Gesch. d. Theor. d. Kunst' t. I p. 223, fortasse recte; Φρυνίχου Iahnius   εἰς τρίτον O. Muellerus Hist. lit. gr. t. II p. 116; μεταλαβεῖν Bernhardyus p. 304; an ἐς τρίτον — μεταβαίνειν?   4 τῆς ποικίλης λέξεως Bergkius.

CLXI. Cf. I, 5; 14.

δημιουργὸς καὶ ποιητὴς ἰδίων ὀνομάτων καὶ πραγμάτων. Εὐριπίδου δὲ καὶ Σοφοκλέους καὶ ποικιλώτερος ταῖς τῶν προσώπων ἐπεισαγωγαῖς.

CLXIII Dionysius Halic. de admir. vi dic. Dem. p. 1073 R. Καὶ ταῦτα δ' ἔτι τῆς ἀρχαίας καὶ αὐστηρᾶς ἁρμονίας ἐστὶ χαρακτηρικά· τὸ μήτε συνδέσμοις χρῆσθαι πολλοῖς, μήτ' ἄρθροις συνεχέσιν, ἀλλ' ἔστιν ὅτε καὶ τῶν ἀναγκαίων ἐλάττοσι· τὸ μὴ χρονίζειν ἐπὶ τῶν αὐτῶν πτώσεων τὸν λόγον, ἀλλὰ θαμινὰ μεταπέμπειν (μεταπίπτειν Sylburgius)· τὸ τῆς ἀκολουθίας τῶν προεξενεχθέντων ὑπεροπτικῶς ἔχειν τὴν φράσιν, μηδὲ κατάλληλον· τὸ περιττῶς καὶ ἰδίως καὶ μὴ κατὰ τὴν ὑπόληψιν ἢ βούλησιν τῶν πολλῶν συζεύγνυσθαι τὰ μόρια. καὶ παραδείγματα δ' αὐτῆς ποιητῶν μὲν καὶ μελοποιῶν ἥ τ' Αἰσχύλου λέξις ὀλίγου δεῖν πᾶσα, καὶ ἡ Πινδάρου χωρὶς ὅτι μὴ (μετὰ cod., corr. Sylburgius) τὰ Παρθένεια καὶ εἴ τινα τούτοις ὅμοια· κἀν τούτοις εὐγένεια καὶ σεμνότης ἁρμονίας τὸν ἀρχαῖον φυλάττουσα πῖνον. συγγραφέων δὲ λαμπρότατός τε καὶ μάλιστα τῶν ἄλλων κατορθῶν περὶ ταύτην τὴν ἰδέαν Θουκυδίδης.

CLXIV Dionysius Halic. de comp. verb. c. XXII. Τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε ὁ χαρακτήρ· ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς, καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστ' ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τ' ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους αἰσθητοῖς χρόνοις διειργόμενος. τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς· ῥυθμούς τε ἐπιτηδεύει τοὺς ἀξιωματικοὺς καὶ μεγαλοπρεπεῖς, καὶ οὔτε πάρισα βούλεται τὰ κῶλα ἀλλήλοις εἶναι, οὔτε παρόμοια, οὔτε ἀνάγκῃ δουλεύοντα· ἀκόλουθα δὲ καὶ εὐγενῆ καὶ λαμπρὰ καὶ ἐλεύθερα· φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεται μᾶλλον ἢ κατὰ ἦθος· περιόδους δὲ συντιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν ταπολλὰ μὲν οὐδὲ βούλεται· εἰ δέ ποτ' αὐτομάτως ἐπὶ τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν ἐθέλει καὶ ἀφελές· οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη, οὔτε ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες ἢ γλαφυραί, οὐδ' ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρκεις, οὐδέ τι τοιοῦτον, ἀλλὰ περὶ τὰς πτώσεις ποικίλη· περὶ τοὺς σχηματισμούς, ὀλιγοσύνδεσμος, ἄναρθρος ἐν πολλοῖς· ὑπεροπτικὴ τῆς ἀκολουθίας·

in verbis et rebus condendis atque innovandis

νεοποιημένα inventa. newly-coined

6. φράσιν. elocutio. style. expression

13. πῖνον: cf. πῖνος ὁ τῆς ἀρχαιότητος (lit. dirt / rust) prized in bronzes, hence πῖνος = archaic style. πινόομαι to be rusted. L & S. say πίνος not πῖνος

11 And as to periods it does not, as a rule, even attempt to compose them in such a manner that sense of each is complete in itself (R.R. | συνεστραμμένας. complete ('ἅμα' simultaneously))

11. it does not usually aim at composing periods as a compact framework for its thought; but, if it should ever drift undesignedly into this style, it desires to set on it the mark of spontaneity and plainness. It does not employ, to round a sentence, supplementary words which do not help the sense; it does not care that the march of its phrases should have stage glitter nor artificial smoothness; nor that the separate clauses should be adapted (separated) to the length of the speaker's breath. No, indeed of all such industry it is innocent. It is fanciful in imagery, sparing of copulas (in its configuration); generally of connectives as a rule; disdainful of sequence (Jebb)

anything but flood; haughty; straightforward,

φεύγουσα ἅπαξ τὸ κομψόν

CLXI. Example imaginative daring

CLXVI. .. καὶ καμίνου σχῶσι μάκιστον σέλας·| εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον,| μίαν παρείρας πλεκτάνην χειμάρροον| στέγην πυρώσω καὶ κατανθρακώσομαι.| νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος|
Quell they the oven's far-flung splendor-glow!| Had I mine but one hearth-abider met, —| One flame-wreath torrent-like I'd whirl on high;| I'd burn the roof, to cinders shrivel it! — | Nay, now my chant is not of noble strain. [Way]

4. confused in imagery rather than the product of intensity (Rhys Rob.)
and each one of them, if examined in the light of day, sinks little by little from the terrible into the contemptible. But since even in tragedy, which is in its very nature stately and prone to bombast, tasteless tumidity is unpardonable, still less, I presume, will it harmonize with the nature of fact
Peterson ad loc. "uncouth and unharmonious" cf. horride atque incomposite Quint. 10.2.17. horride incultique Orat. 28. (horridus ≠ nitidus)
on 10.1.44 on 'composition' genus: harmonious, rhythmical referring to careful arrangement of words — a special technical middle sense
Watson: rough and unpolished. Guthrie: rough and irregular.
Panckoucke: manquent d'art et sont negligés (so Charpentier)
Butler   Bassi: incolto
Hied of rudis. the words suggests barbarism (Hor. 1.10.66 rudis et Graecis intacti carminis auctor). Q. exceeds truth in a.. rudis. He is speaking un peu au hazard, and no one could do more — at least Attic tragedy, which after Accius Romans ceased to imitate

---

τὸ καθαρόν τε καὶ εἰλικρινές Philebus 52 D. purity & clearness
acc. to Hermogenes σαφήνεια is attained by εὐκρίνεια and καθαρότης
εἰλικρίνεια purity color.

ἥκιστα ἀνθηρά· μεγαλόφρων· αὐθέκαστος· ἀκόμψευτος· τὸν ἀρχαϊσμὸν καὶ τὸν πῖνον ἔχουσα κάλλος.

Ταύτης τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταί· διαφέροντες δὲ τῶν ἄλλων ἐν μὲν ποιήσει ὅ, τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός· ἐν δὲ μελοποιΐᾳ Πίνδαρος· ἐν τραγῳδίᾳ δὲ Αἰσχύλος· ἐν ἱστορίᾳ δὲ Θουκυδίδης· ἐν δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν.

Dionysius vel Longinus de subl. XV, 5 sq. CLXV

Τοῦ δ' Αἰσχύλου φαντασίαις ἐπιτολμῶντος ἡρωϊκωτάτοις, ὥσπερ καὶ Ἑπτὰ ἐπὶ Θήβας παρ' αὐτῷ (v. 42—46), ... τὸν ἴδιον αὐτῶν πρὸς ἀλλήλους δίχα οἴκτου συνομνύμενοι θάνατον, ἐνίοτε μέντοι ἀκατεργάτους καὶ οἱονεὶ ποκοειδεῖς τὰς ἐννοίας καὶ ἀμαλάκτους φέροντος, ὅμως ἑαυτὸν ὁ Εὐριπίδης κἀκείνοις ὑπὸ φιλοτιμίας τοῖς κινδύνοις προσβιβάσει. καὶ παρὰ μὲν Αἰσχύλῳ παραδόξως τὰ τοῦ Λυκούργου βασίλεια κατὰ τὴν ἐπιφάνειαν τοῦ Διονύσου θεοφορεῖται· 'ἐνθουσιᾷ δὴ δῶμα, βακχεύει στέγη'· ὁ δὲ Εὐριπίδης τὸ αὐτὸ τοῦθ' ἑτέρως ἐφηδύνας ἐξεφώνησε· 'πᾶν δὲ συνεβάκχευ' ὄρος'.

Dionysius vel Longinus de subl. III, 1 (ad Aeschyli frg. 303). CLXVI

Οὐ τραγικὰ ἔτι ταῦτα ἀλλὰ παρατράγῳδα, αἱ πλεκτάναι, καὶ τὸ πρὸς οὐρανὸν ἐξεμεῖν, καὶ τὸ τὸν Βορέαν αὐλητὴν ποιεῖν, καὶ τὰ ἄλλα ἑξῆς· τεθόλωται γὰρ τῇ φράσει καὶ τεθορύβηται ταῖς φαντασίαις μᾶλλον ἢ δεδείνωται, κἂν ἕκαστον αὐτῶν πρὸς αὐγὰς ἀνασκοπῇς, ἐκ τοῦ φοβεροῦ κατ' ὀλίγον ὑπονοστεῖ πρὸς τὸ εὐκαταφρόνητον. ὅπου δ' ἐν τραγῳδίᾳ, πράγματι ὀγκηρῷ φύσει καὶ ἐπιδεχομένῳ στόμφον, ὅμως τὸ παρὰ μέλος οἰδεῖν ἀσύγγνωστον, σχολῇ γ' ἂν οἶμαι λόγοις ἀληθινοῖς ἁρμόσειεν.

Quintilianus X, 1, 66. CLXVII

Tragoedias primus in lucem Aeschylus protulit, sublimis et gravis et grandilocus saepe usque ad vitium, sed rudis in plerisque et incompositus.

Plutarchus de glor. Athen. p. 348 D. CLXVIII

Ἡ Εὐριπίδου σοφία καὶ ἡ Σοφοκλέους λογιότης καὶ τὸ Αἰσχύλου στόμα.

Photius bibl. cod. 158 p. 328 R. CLXIX

Εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν (sc. Φρύνιχος Ἀράβιος) ἄριστον

Πλάτωνά τε καὶ Δημοσθένην . . . . . καὶ τῶν τραγικῶν Αἰσχύλον τὸν μεγαλοφωνότατον καὶ Σοφοκλέα τὸν γλυκὺν καὶ τὸν πάνσοφον Εὐριπίδην.

CLXX Cicero de or. III, 7, 27.

Quam sunt inter sese Ennius Pacuvius Acciusque dissimiles, quam apud Graecos Aeschylus Sophocles Euripides, quamquam omnibus par paene laus in dissimili scribendi genere tribuitur.

CLXXI Cicero Tusc. disp. II, 10, 23.

Aeschylus non poeta solum, sed etiam Pythagoreus; sic enim accepimus.

CLXXII Macrobius Saturn. V, 22, 19.

. . . Aeschylum, eminentissimum tragoediarum scriptorem.

CLXXIII Athenaeus XIII p. 600 A.

Καὶ ὁ σεμνότατος δ' Αἰσχύλος.

CLXXIV Horatius Epist. II, 1, 163.

Et post Punica bella quietus quaerere coepit,
Quid Sophocles et Thespis et Aeschylus utile ferrent.

CLXXV Propertius III, 30, 43.

Desine et Aeschyleo conponere verba cothurno,
Desine, et ad molles membra resolve choros.

CLXXVI Aristides or. XLVI p. 179 D.

Ὁρῶ δέ τοι καὶ περὶ τὴν τραγῳδίαν Αἰσχύλον μὲν αἰτίαν οὐ σχόντα ὡς εἰσαγάγοι λαλιάν, οὐδὲ τὸν ἥδιστον εἰπεῖν Σοφοκλέα οὐδαμοῦ ταῦτ' ἀκούσαντα ὡς ἐπῆρεν 'Αθηναίους λαλεῖν, ὅτι, οἶμαι, τῆς σεμνότητος ὡς οἷόν τε μάλιστα ἀντείχοντα καὶ κρείττονα ἢ κατὰ τοὺς πολλοὺς τὰ ἤθη παρείχοντο· Εὐριπίδην δὲ λαλεῖν αὐτοὺς ἐθίσαι, καταιτιαθέντα ἀφελεῖν τι δόξαντα τοῦ βάρους καὶ τῶν καιρῶν.

CLXXVII Aristides or. XIX p. 421 D.

Ἃ δὲ νῦν ὁρᾶν τε καὶ ὑμνεῖν ὁ δαίμων παρέδωκε τίς θρῆνος Ἀργεῖος, τίνες Αἰγυπτίων ἢ Φρυγῶν ᾠδοὶ συμμετρήσονται; τίς 'Ελευσίνιος Αἰσχύλος πρὸς χορὸν ᾄσεται; ποίας Ναυπλίου πάγας ὑποπύρους, ὡς ἔφη Σοφοκλῆς, ἄξιον τῇ πυρκαϊᾷ ταύτῃ παραβαλεῖν; ὦ δᾷδες, ὑφ' οἵων ἀνδρῶν ἀπέσβητε.

CLXXVIII Himerius or. XXIII (in mortem filii Rufini) p. 774 W.

Ὦ πάθος τῆς Αἰσχύλου μεγαλοφωνίας ἄξιον.

λαλιά Nub 931. Ran. 1069
Canter's Aristides III. 220 ... nec inter tragicos A. loquacitatem dictus est introducere, nec suavissimus S. nonunquam crimen sustinuit: quoniam gravitati plurimum studebant, ac difficilem sui populo praebebant imitationem; verum E. hac culpa non vacuit, cum de gravitate ac decoro aliquantum visus esset detrahere
(a poor translation)

cf. σύστασις τῶν πραγμάτων in Poetics denotes a establishment of parts, not a mechanical piecing together incidents.

CLXXXI. ἀξύστατον Onkle prevention's soul § 5 (1014 b) ἀκοσμία γὰρ ἦν τὰ πρὸ τῆς τοῦ κόσμου γενέσεως· ἀκοσμία δ' οὐκ ἀσώματος οὐδ' ἀκίνητος οὐδ' ἄψυχος ἀλλ' ἄμορφον μὲν καὶ ἀσύστατον τὸ σωματικὸν ἐμπληκτον δὲ καὶ ἄλογον τὸ κινητικὸν ἔχουσα· τοῦτο δ' ἦν ἀναρμοστία ψυχῆς οὐκ ἐχούσης λόγον

L & S. incoherent, incongruous, irregular

στόμφαξ: στομφάσαι· ἀλαζονεύεσθαι Hesych

Schol. Hermog (Walz. vii. 963. 13) στομφάζειν ἐστὶ τὸ κομπάζειν καὶ ἀλαζονεύεσθαι

Greg. Corinth (ib. 1253. 18) μιμεῖται ὁ ποιητὴς διὰ τῶν στομφαστικῶν λέξεων τὸ σεμνὸν τοῦ ἥρωος

Vesp. 721 στομφάζοντας . στομφός 'full-mouth'. 'bombast' is cotton used to stuff out garments

κρημνοποιόν. cf. ῥήματα ἱπποκρημνα Ran. 929, Eq. 628 κρημνοὺς ἐρείδων

φραγμός used of a man with a bristly beard ('fenced off') by Lucian
φραγμῶν thorn-hedge

φαντασία μεγέθους appearance of elevation. Long. 7. 1.

κρημνώδης precipitous Thuc. Plut.
κρημνοβάτης Greg. Naz. one who uses rugged words

Basilius M. Epist. 74 (ad Martinium) t. III p. 169 ed. Par. a. 1730. CLXXIX
Σιμωνίδου ὄντως ἤ τινος τοιούτου μελοποιοῦ ἐδεόμεθα, ἐναργῶς εἰδότος ἐπιστενάζειν τοῖς πάθεσι. καίτοι τί λέγω Σιμωνίδην; δέον Αἰσχύλον εἰπεῖν, ἤ εἰ δή τις ἕτερος παραπλησίως ἐκείνῳ συμφορᾶς μέγεθος ἐναργῶς διαθέμενος, μεγαλοφώνως ὠδύρατο.

Theodoretus Hist. eccl. III, 3 p. 649 Sirm. CLXXX
Ἐν Δορυστόλῳ — πόλις δὲ αὕτη τῆς Θρᾴκης ἐπίσημος — Αἰμιλιανὸς ὁ νικηφόρος ἀγωνιστὴς ὑπὸ Καπετωλίνου τοῦ τῆς Θρᾴκης ἁπάσης ἄρχοντος παρεδόθη πυρᾷ. τὸ δέ γε Μάρκου τοῦ Ἀρεθουσίων ἐπισκόπου δρᾶμα τῆς Αἰσχύλου καὶ Σοφοκλέους δεῖται μεγαληγορίας, ἵν' ἀξίως τὰ ἐκείνου τραγῳδήσωσι πάθη.

Aristophanes Nub. v. 1365 sqq. c. Schol. 1367 CLXXXI
(= Suidas v. ἀξύστατον et ψόφου πλέως).

ΣΤΡ. κᾆθ' οὗτος εὐθὺς εἶπεν·
'Ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,
ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνοποιόν'.

οὐ συνεστῶτα οὐδὲ πυκνόν, ἀλλ' ἀραιὸν ἐν τῇ ποιήσει καὶ κομπώδη. τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ οὐδεμίαν ἔχει πραγματείαν. ἀσύστατον δὲ οἷον ἀδιάθετον, ἀπιθάνους συνιστάντα τοὺς μύθους. [ἄνισον Gl. Θ. Br.] στόμφακα .... [σκληρόν· παρὰ τὸ στόμα καὶ τὸν ὄμφακα· οἷον τραχύν. κρημνοποιὸν δὲ] μεγάλας λέξεις ποιοῦντα. [στόμφακα· μεγαλορρήμονα. κρημνοποιόν· σκληρολέκτην. Gl. Θ. Br.]

Ioannes Sicel. Schol. in Hermog. t. VI p. 225 W. CLXXXII
Στομφάζειν ἐστὶ τὸ κομπάζειν καὶ ἀλαζονεύεσθαι .... τραχεῖα γάρ ἐστιν ἡ λέξις καὶ τῇ ἀκοῇ καὶ τῇ γλώττῃ. εὕρημα τοῦ Ἀριστοφάνους ἡ λέξις κωμῳδοῦντος Αἰσχύλον ὡς τραχύν· φροντίζων γὰρ ὁ ποιητὴς μεγέθους καὶ οὐκ ἐπιτυγχάνων εἰς τραχύτητα περιπίπτει, διὸ καί φησιν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις (Nub. v. 1367) ψόφου πλέων ἀξύστατον, ἀντὶ τοῦ ἄξυστον καὶ ἀκαλλές· στόμφακα, κρημνοποιόν, ὡς φαντασίας ἐχόντων κρημνοδῶν καὶ φραγμωδῶν, ὡς κἀν τῷ Ἀγαμέμνονι·

Γυναικὸς ἀνδρόβουλον ἐλπίζων κέαρ.

ἡ γὰρ λέξις σκληρά, καὶ ὁ ἦχος πάντων τοιοῦτος, φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν, οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβεῖα ἐπιλαθόμενος. διὸ καὶ Σο-

φοκλῆc μιμεῖται (μέμφεται Nauckius Trag. frg. p. 70; οὐ μιμεῖται alii; an: μωμᾶται aut τὰ εἰκότα μιμ.?)· λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέςτερον ἐν τῷ κα′ τῶν Φιλολόγων (cf. CLXVI).

CLXXXIII Aristophanes Ran. v. 923 sqq. c. Schol. 928 (959).

ΕΥΡ. κᾆπειτ' ἐπειδὴ ταῦτα ληρήcειε καὶ τὸ δρᾶμα
ἤδη μεcοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν
ὀφρῦc ἔχοντα καὶ λόφουc, δείν' ἄττα μορμορωπά,
ἄγνωcτα τοῖc θεωμένοιc......
cαφὲc δ' ἂν εἶπεν οὐδὲέν......
ἀλλ' ἢ Cκαμάνδρουc ἢ τάφρουc ἢ 'π' ἀcπίδων ἐπόντας
γρυπαέτουc χαλκηλάτουc καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οὐ ῥᾴδι' ἦν.

ἢ Cκαμάνδρουc] χαρακτηριcτικὸν καὶ τοῦτο, ὅτι πολὺc Αἰcχύλοc ἐν τῷ ποταμοὺc καὶ ὄρη λέγειν.

CLXXXIV Aristophanes Ran. v. 1056 sqq. c. Schol. v. 1057 (1089).

ΕΥΡ. ἢν οὖν cὺ λέγῃc Λυκαβηττοὺc
καὶ Παρναcῶν ἡμῖν μεγέθη, τοῦτ' ἐcτὶ τὸ χρηcτὰ διδάcκειν,
ὃν χρῆν φράζειν ἀνθρωπείωc; ΑΙCΧ. ἀλλ' ὦ κακόδαιμον ἀνάγκη
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴcα καὶ τὰ ῥήματα τίκτειν.

καὶ Παρναccῶν] οἷον ῥήματα ὄρεcι παραπλήcια . . . [ἢ τὸ "Λυκαβηττοὺc καὶ Παρναccῶν μεγέθη" Αἰcχύλοc ἔν τινι τῶν αὑτοῦ πεποίηκε δραμάτων].

CLXXXV Io. Tzetzes ad Aristoph. Ran. v. 1328.

Ὁ Αἰcχύλοc δὲ ὑπέρευγε (ὑπερεύγει Keilius Mus. Rhen. t. VI p. 618, τί ὑπερέχει Nauckius lex. Vind. p. 252), πλὴν μέντοι τοῦ κρημνολεκτεῖν καὶ χαίρειν ἄγαν τῇ ἀcαφείᾳ.

CLXXXVI Etym. M. v. Κόλλοπες = Cramer. Anecd. Par. t. IV p. 75, 4 (Aristophanes frg. 526).

Ἀριcτοφάνηc τὴν cκληρότητα Αἰcχύλου ἐνδεικνύμενοc ἔφη·
Οἶμαι γὰρ αὐτὸν κόλλοπι ‖ ἐοικέναι.

CLXXXVII Aristophanes Ran. v. 931 sq. c. Schol. Pac. v. 1177.

ΔΙΟΝ. ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸc διηγρύπνηcα
τὸν ξουθὸν ἱππαλέκτορα ζητῶν, τίc ἐcτιν ὄρνιc.

κᾆτα φεύγει πρῶτοc ὥcπερ ξουθὸc ἱππαλεκτρυὼν τοὺc λόφουc cείων] . . . ὅτι τοῦ παρ' Αἰcχύλου ἐν Μυρμιδόcι (πολλάκιc cod.) κληθέντοc ἱππαλεκτρυόνοc, ὃν ἀεὶ κωμῳδοῦcιν, πολλάκιc (ἐν Μυρμιδόcι cod., permutavit Nauckius Trag. frg. p. 32) μέμνηται.

hard skin of animal?

τιμαλφής frag. 56 (Ἐπίγονοι) = ἔντιμος costly. precious
τιμαλφεῖν θεούς Ag. 922, αὐτὸν τιμαλφεῖ λεὼς Eum. 15.
ἄνδρα ... διοσδότοις σκήπτροισι τιμαλφούμενον Σ. 626.
ὑπάστιον τῶνδε τιμαλφούμενον Σ. 807.
Pind. N. 9. τιμαλφεῖν λόγοις νίκαν.

3. κάπηλα = καπηλικά · vamped up for sale.

15. τὴν δίκην.

16. ἀληθείας.

ἐκτίνω δίκην pay full penalty Σ. El. 200.

Pind. fr. 76 Bergk
Ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,
Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον

Schol. Med. ad Eum. v. 626. CLXXXVIII

τιμαλφούμενον] συνεχὲς τὸ ὄνομα παρ' Αἰσχύλῳ, δι' ὃ σκώπτει αὐτὸν Ἐπίχαρμος.

Io. Tzetzes Schol. ad Hes. Op. et d. v. 414. CLXXXIX

. . . καπήλους γὰρ καλῶ καὶ τοὺς νῦν παραδυναστεύοντας ἐν ταῖς βασιλείαις αὐλαῖς, ὡς ὑπαγομένους θωπείαις καὶ τὰ κάπηλα τῶν συγγραμμάτων ἀκριβεστάτως μὴ ἀποδοκιμάζοντες κρίσεσιν, ἀλλ' ἐνιαχοῦ, μᾶλλον δὲ πανταχοῦ καὶ τῶν κατὰ τέχνην γεγραμμένων ἐξαίροντας· ὡς οἱ πάλαι τὰ Εὐριπίδου κάπηλα γράμματα τῶν σοφῶν συγγραμμάτων Αἰσχύλου προκρίναντες, τὸν μακρὸν αἰῶνα τῆς σφῶν ἀβελτηρίας παραστήσαντες μάρτυρα. ἐξελέγχονται γὰρ τοῖς ἀμφοτέρων συγγράμμασι μέχρι καὶ νῦν. Εὐριπίδην γὰρ προκεκρικότες Αἰσχύλου ὡς κάπηλον καὶ τούτοις συμποσιάζοντα καὶ ἀγοραῖον καὶ εἴρωνα. Αἰσχύλος γὰρ ἀρχικὸς ἦν καὶ σοφὸς καὶ βασιλείου γένους εἷλκε σειρὰν καὶ τοῖς ἀδελφοῖς στρατηγοῦσι τὸν Ξέρξην συγκατεναυμάχησεν καὶ ἐν ἠπείρῳ νενίκηκε καὶ συμποσίων καὶ ἀργῶν ἐκτὸς ἦν καὶ ἀθώπευτος καὶ τὸ εὐγενὲς ἐν πᾶσι τηρῶν· ὅθεν τῆς εὐγενείας καὶ τῆς σοφίας παρ' ἐκείνων τοιαύτην ὑπέσχε τὴν δίκην, ὡς καὶ πρὸ Αἰσχύλου τῆς ἀληθείας ὁ τραγικὸς Φερένικος δίκας ἐξέτισε ζημιωθεὶς χιλίας δραχμάς, ὅτι Μιλήτου παρὰ Περσῶν γεγράφηκεν ἅλωσιν καὶ τὸ θέατρον πρὸς ὀλοφύρσεις ἐκίνησεν. ὁμοίως καὶ Πίνδαρος χιλίας δραχμὰς ἐξέτισε Θηβαίοις, ὅτε τὰς Ἀθήνας Ἑλλάδος γεγράφηκεν ἔρεισμα. τοιαῦτα πρίν τε καὶ νῦν τῆς ἀθωπευσίας καὶ ἀληθείας τὰ ἐπίχειρα.

Io. Tzetzes Chil. 8. 226
Αἰσχύλος, ὡς ὁ Ὅμηρος, θνητόψυχος ὑπάρχων

INDEX

ΑΙϹΧΥΛΟΥ

ЄΠΤΑ ЄΠΙ ΘΗΒΑϹ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΕΤΕΟΚΛΗΣ
ΑΓΓΕΛΟΣ ΚΑΤΑΣΚΟΠΟΣ
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ
ΑΝΤΙΓΟΝΗ
ΙΣΜΗΝΗ
ΚΗΡΥΞ*)

*) Pristinum haud dubie nominum ordinem bipertitum male interpretans librarius eum effecit qui est in Mediceo:

ἘΤΕΟΚΛῆΣ: ἈΝΤΙΓΌΝΗ: ἌΓΓΕΛΟΣ. ΚΑΤΆΣΚΟΠΟΣ: ἸΣΜΉΝΗ:
χ̊ ΠΑΡΘΈΝΩΝ: ΚῆΡΥΞ ·:· † ΑἸΣΧΎΛΟΥ ἙΠΤᾺ ἘΠῚ ΘΉΒΑΣ:

ΕΤΕΟΚΛΗϹ

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια,
ὅϲτιϲ φυλάϲϲει πρᾶγοϲ ἐν πρύμνῃ πόλεωϲ,
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ·
εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, ϲυμφορὰ τύχοι,
Ἐτεοκλέηϲ ἂν εἷϲ πολὺϲ κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀϲτῶν φροιμίοιϲ πολυρρόθοιϲ
οἰμώγμαϲίν θ', ὧν Ζεὺϲ ἀλεξητήριοϲ

Praecedentis fabulae subscriptionem quae haec est:

ʼευμενίδεϲ   αἰϲχύλουϲὺνθῶτέλοσ

hic excipit versiculus

ὑπόθεϲιϲ τῶν ʽεπτὰ ἐπὶ θήβαϲ,

hunc demum τὰ τοῦ δράματοϲ πρόϲωπα

1 ʼετεοκλ[s] in marg.: et sic personarum notae semper, nisi ubi abesse testabimur   2 ὅϛισ m. pr. ὅ*ιισ post rasuram   πρύμνη pr.   3 prima in νωμῶν littera e corr. in ras.   6 ἐτεοκλῆσ pr. ἐτεοκλέησ m. rec.   εἶσ κατὰ (πολὺσ) m. ant.   8 ἀλεξητήριοσ pr. ἀλεξιτήριοσ rec.

ΥΠΟΘΕϹΙϹ. Ἡ μὲν ϲκηνὴ τοῦ δράματοϲ ἐπὶ (ἐν) Θήβαιϲ ὑπόκειται· ὁ δὲ χορὸϲ ἐκ Θηβαίων ἐϲτὶ παρθένων· ἡ δὲ ὑπόθεϲιϲ, ϲτρατεία (immo ϲρατιὰ) Ἀργείων πολιορκοῦϲα Θηβαίουϲ τοὺϲ καὶ νικήϲανταϲ, καὶ θάνατοϲ Ἐτεοκλέουϲ καὶ Πολυνείκουϲ. ἐδιδάχθη ἐπὶ Θεαγένουϲ (i. Θεαγενίδου) ὀλυμπιάδι οη'. ἐνίκα Λαΐῳ Οἰδίποδι Ἑπτὰ ἐπὶ Θήβαϲ Ϲφιγγὶ ϲατυρικῇ. δεύτεροϲ Ἀριϲτίων (i. Ἀριϲτίαϲ) Περϲεῖ Ταντάλῳ Παλαιϲταῖϲ ϲατυρικοῖϲ τοῖϲ Πρατίνου πατρόϲ. τρίτοϲ Πολυφράϲμων Λυκουργίᾳ (i. Πολυφράδμων Λυκουργείᾳ) τετραλογίᾳ.

1 λείπει τὸ ἐκεῖνον. καίρια δὲ τὰ ἀναγκαῖα· παρακαίρια γὰρ τὰ ἄδικα   2 ἐν ἐξουϲίᾳ   3 τὸν τῆϲ πόλεωϲ κυβερνήτην   4 τῆϲ εὐπραγίαϲ ἡ αἰτία ἐπὶ τοὺϲ θεοὺϲ [θεοὺϲ ἀναφέρεται], τῆϲ δὲ δυϲπραγίαϲ ἐπὶ τοὺϲ ἄρχονταϲ   6 ἀντὶ τοῦ μόνοϲ   7 λοιδόροιϲ τὸ ὑμνεῖϲθαι μέϲον   8 ἀλεξιτήριοϲ Ζεὺϲ ἐν Θήβαιϲ τιμᾶται. φηϲὶν οὖν, ϲυμφώνωϲ ἑαυτῷ τιμῷτο

ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ
βλαστημὸν ἀλδαίνοντα σώματος πολύν,
ὥραν ἔχονθ' ἕκαστον, ὥς τις ἐμπρεπής,
πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων
βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε·
τέκνοις τε, γῇ τε μητρί, φιλτάτῃ τροφῷ·
ἡ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
ἐθρέψατ' οἰκητῆρας ἀσπιδηφόρους
πιστοὺς ὅπως γένοισθε πρὸς χρέος τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
νῦν δ' ὥς ὁ μάντις φησίν, οἰωνῶν βοτήρ,
ἐν ὠσὶ νωμῶν καὶ φρεσίν, πυρὸς δίχα,

---

12 βλάστημον, sed ut in μ littera (quae videri potest λ fuisse) aliquid mutarit m. tert. 13 ὥραν τ', ut apostrophus sit a m. ant., τ a m. tert. in rasura, ab eademque fortasse ν, praeterea e corr. ὥραν ἔχο*νθ' cum ras., ante quam fuit fortasse ἔχωνθ' ''εκαστοσ pr. ''εκαστον tert. paene evanida correctione ὥϛισ pr., sed ut littera altera dubia sit. ὥ*τι,* post ras. ὥςτι* m. rec. συμπρεπὲσ 15 μὴξ**αλειφθῆναί 16 γῆ pr. φιλτάτη pr. φιλτάτη[1] sec. τροφῶ pr. 17 πέδω pr. 18 τ in ὄτλον m. sec. post ras. 19 οἰκιστῆρασ 20 προσχρέοσ 25 φρεσὶ

---

10 καὶ τὸν νέον καὶ τὸν αὔξοντα τὴν βλάστησιν τοῦ Διός (i. σώματος) τὸν νέον 11 τὸν ἔξω ἡλικίας, τὸν γέροντα 12 αὐξάνοντα ἀνδρῶν νῦν (13) οἷον καθὸ ἕκαστος δύναται βοηθεῖν 13 ὥραν (i. ωραν) φροντίδα, ἡλικίαν, ἵν' ᾗ ὁ νοῦς οὕτως, ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως· ἢ ἕκαστον πρὸς τὴν ἡλικίαν βοηθεῖν τῇ πόλει ὡς πρέπον ἁρμόδιον 16 κοινὸν τὸ ἀρήγειν 17 αὕτη κυρίως ἐπὶ πέδων [περὶ παίδων] τὸ ἕρποντας 18 ἐπιδεχομένη πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη 20 πιστοὶ δηλονότι πρὸς κίνδυνον ὑπὲρ αὐτῆς πρόθυμον [πρόθυμοι] 21 ἀπὸ τοῦ ἐν ζυγῷ 22 φυλασσομένοις ὑπὸ τοῦ θεοῦ 24 σκοπός, ὁ Τειρεσίας 25 οὐκ ἐμπύρων (ἐμπύρ') συρόμενος [ἐμπύροις χρώμενος]

---

13 ὥραν· φροντίδα, ἵν' ᾗ ὁ νοῦς οὗτος H πρέπον ἐστίν H

χρηϲτηρίουϲ ὄρνιθαϲ ἀψευδεῖ τέχνῃ·
οὗτοϲ τοιῶνδε δεϲπότηϲ μαντευμάτων
λέγει μεγίϲτην προϲβολὴν Ἀχαΐδα
νυκτηγορεῖϲθαι κἀπιβουλεύειν πόλει.
ἀλλ' ἔϲ τ' ἐπάλξειϲ καὶ πύλαϲ πυργωμάτων
ὁρμᾶϲθε πάντεϲ, ϲοῦϲθε ϲὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ ϲέλμαϲιν
πύργων ϲτάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοιϲ
μίμνοντεϲ εὖ θαρϲεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεόϲ.
ϲκοποὺϲ δὲ κἀγὼ καὶ κατοπτῆραϲ ϲτρατοῦ
ἔπεμψα, τοὺϲ πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούϲαϲ οὔ τι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟϹ

Ἐτεόκλεεϲ φέριϲτε, Καδμείων ἄναξ,
ἥκω ϲαφῆ τἀκεῖθεν ἐκ ϲτρατοῦ φέρων,
αὐτὸϲ κατόπτηϲ δ' εἶμ' ἐγὼ τῶν πραγμάτων.
ἄνδρεϲ γὰρ ἑπτὰ θούριοι λοχαγέται,
ταυροϲφαγοῦντεϲ ἐϲ μελάνδετον ϲάκοϲ
καὶ θιγγάνοντεϲ χερϲὶ ταυρείου φόνου,
Ἄρη τ', Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὡρκωμότηϲαν ἢ πόλει καταϲκαφὰϲ

---

28 ἀχαιΐδα 29 κἀπιβουλεύσειν 30 πύλασ πυργωμάτων pr. πύλασ_ πυργωμάτων (ων superscr.) tert. 32 κἀπισέλμασιν 34 εὐθαρσεῖτε 36 κατοπτῆρα pr. κατοπτῆρασ tert. 37 ὁδῶ pr. 39 ἌΓΓΕΛ(Ο) Κ(Τ) ϹΚΟ(Ο)Π mrg. 41 εἰμ' 46 κατὰσκαφὰσ

---

26 ἐξ ἀκοῆϲ γὰρ τὰϲ πτήϲειϲ διέκρινεν. οὐχ ὁρῶν ὁ Τειρεϲίαϲ ἐπέβαλε [ἐπέβαλλε] τῇ τέχνῃ, ἑτέρου [ἤτοι ἑτέρου] ὑπαγορεύοντοϲ, οὐκ αὐτὸϲ ὢν αὐτόπτηϲ τῶν ὀρνέων μαντευτικούϲ 27 ὁ Τειρεϲίαϲ
29 ἐν νυκτὶ ἀγορεύεϲθαι [ἀγορεύειν] καὶ βουλεύεϲθαι [ἐν νυκτὶ ἀγείρεϲθαι] 31 ϲοῦϲθε: ἐπίρρημα παρακελεύϲεωϲ ὡπλιϲμένοι
32 τὰϲ ἐπάλξειϲ τῶν τειχῶν τοῖϲ ἐπιβήμαϲι. κατεχρήϲατο δὲ
34 τῶν πολεμίων 35 καλὰ θεὸϲ παρέχει 37 μὴ μάτην ὁρμῆϲαι 43 ἐϲ μελάνδετον: τὸ μελανιϲθὲν τῷ αἵματι· ἢ τὸ ἐκ μελαινῶν βυρϲῶν περιβεβλημένον [καταϲκευαϲμένον]. οὕτωϲ δὲ θύοντεϲ ἐπάνω τῶν ἀϲπίδων ἐμαντεύοντο. τὸ μελάνδετον δὲ καλῶϲ ἂν ἐπὶ ξίφουϲ ῥηθείη, ἐπὶ δὲ ϲάκουϲ παρέλκει τῶ [τὸ] δετον ὡϲ ἐπὶ τοῦ κελαινεφὲϲ τὸ νέφοϲ

θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
καὶ τῶνδε πίστις οὐκ ὄκνῳ χρονίζεται.
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος
φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεως· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·

---

49 εἰσ 52 ἀνδρεία pr. ἀνδρεία' sec. 53 ὁ in λεόντων tert. in ras. 54 πύστισ 55 πάλω pr. 56 προσπύλἆσ (h. e. accentu supra α deleto) 58 ἐπεξόδοισι 60 κονιεῖ 61 πλευμόνων 65 λάβε

---

47 ἐκκενώσειν, ἀπὸ τοῦ λαπάθου 49 μνημεῖα: περόνας ἢ τρίχας ἤ τι τοιοῦτον. ἔθος δὲ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα ἢ περόνας ἢ ταινίας ἢ βοστρύχους ἤ τι τοιοῦτον. τὸ δὲ ἔστεφον ἀντὶ τοῦ ἐπλήρουν. πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο μόνον Ἄδραστον σωθήσεσθαι. τοῦτο δὲ ὡς ἀπὸ τῆς ἱστορίας ἔλαβεν, ὅτι ἐσώθη ὁ Ἄδραστος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι διαφεύξεται; 50 τοῦτον γὰρ ἔφασκεν ὁ μάντις σωθήσεσθαι μόνον ἐκ τοῦ πολέμου ἐπλήρουν 51 οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν προϊὼν ἀποθηλύνων τὴν ὁρμήν 54 καὶ τῶνδε πύστις: μετ' οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ. ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γέγονεν. ταχὺ γὰρ ἤγγειλα ἡ γνῶσις οὐκ εἰς μακρὰν πλησιάζεται 55 κληρουμένους δ' ἔλειπον: κλήρους γὰρ ποιησάμενοι πρὸς μίαν πύλην ἐδέξαντο οἱ ἑπτὰ λοχαγέται 58 τάξον 60 λευκός 62 ἀπὸ μεταφορᾶς τῶν πλοίων ἀσφαλής, βέβαιος 63 καταπνεῦσαι σφοδρῶς 64 πρὸς τὸ πνεῦμα ἐπήγαγεν τὸ κῦμα· παρακεκινδυνευμένως δὲ εἶπεν κῦμα χερσαῖον 65 τουτέστι μὴ ἐκπέσῃς τοῦ δέοντος καιροῦ

κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει.

ΕΤΕΟΚΛΗΣ

ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοί,
Ἀρά τ' Ἐρινὺς πατρὸς ἡ μεγασθενής,
μή μοι πόλιν γε πρέμνοθεν πανώλεθρον
ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλείοισι μήποτε σχεθεῖν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΥ ἡ Α

θρεῦμαι φοβερὰ μεγάλ' ἄχη·
μεθεῖται στρατὸς στρατόπεδον λιπών·
ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος.

---

67 σαφηνεία pr. 68 ἔσηι 69 Ἐτε$^{κ}_{ο}$ mrg. 71 πρυμνόθεν 72 δηϊάλωτον 75 σχέθειν 78 Χ^{ο} παρ^{θ} mrg., praeterea autem per totum carmen personarum distinctio nulla θρέομαι 79 ≻μεθεῖται 82 ʽέτυμος

---

66 φύλακα ἁπλῶς 67 ἀσφαλῶς φυλάξω 70 ὅτι τὰ νῦν δι' αὐτῆς τελειοῦται 72 ἐκριζώσητε ἀντὶ τοῦ οὐ βάρβαρον οὖσαν, ἀλλ' Ἑλληνίδα καὶ αὐτήν 73 γρ. καὶ ὄλβον ῥέοντα καὶ δόμους 75 μὴ ὑπεξελθεῖν ζυγὸν δουλείας 76 κοινωφελῆ καὶ ὑμῖν καὶ ἡμῖν νομίζω λέγειν 78 θρέομαι φοβερά: θρηνῶ, βοῶ. εὐπτόητος δὲ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα δὲ πρὸς πολιορκίαν 79 μεθεῖται στρατός: οἷον ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου. οἷον, ἤδη τὴν ὁρμὴν ποιοῦνται ἐπὶ τὴν πόλιν ἡμῶν οἱ πολέμιοι. ταῦτα δὲ φανταζόμεναι λέγουσιν ὡς ἀληθῆ. τὸ δὲ χ πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου· στρατόπεδον γὰρ καλεῖται τὸ ἐνδιαίτημα τοῦ στρατοῦ 80 πρόδρομος ἱππότας: πολὺς ἔμπροσθεν λαὸς ἱππότης. φαντάζονται δὲ ταῦτα πάντα. αἰθερία δὲ κόνις ἡ αὐτὴ αἰρομένη εἰς τὸν αἰθέρα, καίτοι ἄφωνος οὖσα ἐναργής ἐστιν ὥσπερ ἄγγελος καὶ ἀληθής 81 ἡ μέχρι τοῦ αἰθέρος ἤκουσα 82 ἄφωνος μὲν οὖσα, σαφῶς δὲ ἀγγέλλουσα

ΧΟΡΟΥ ἡ Β

ἐλέδεμας πεδία δι' ὁπλόκτυπ' ὠ-
τὶ χρίμπτειν βοὰ ποτᾶται, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.

ΧΟΡΟΥ ἡ Γ

ἰὼ ἰὼ θεοὶ θεαί τ', ὀρόμενον
κακὸν ἀλεύσατε.

ΧΟΡΟΥ ἡ Δ

βοᾷ ὑπὲρ τειχέων
ὁ λεύκασπις ὄρνυται λαὸς εὐ-
τρεπὴς ἐπὶ πόλιν διώκων.

ΧΟΡΟΥ ἡ Ε

τίς ἄρα ῥύσεται; τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν;

ΧΟΡΟΥ ἡ ϛ

πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων;

ΧΟΡΟΥ ἡ Ζ

ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων
ἔχεσθαι. τί μέλλομεν ἀγάστονοι;

---

83 ῎ελεδεμασ pr. ᾿ελεδεμάσ (ν supra) sec. ἕλεδέμὰσ (ν supra) tert. In marg. utroque adscriptum ζτ πεδιο‿πλο‿κτύποσ τί pr. πεδιο‿πλο‿κτύπόσ τι tert. 84 χρίμπτεται βοᾶι pr. βοᾶ'* tert. 86 ἰὼ ἰὼ ἰὼ ὀρόμενον 87 ἀλεύσετε pr. ἀλεύσετε (λ supra) tert. 90 εὐ||*τρεπὴσ integra ante τ littera erasa πτόλιν 91 ἄρ* pr. cum ras. ἄρα tert. ἂρ' pr. ἄρ' rec.

---

83 καὶ τὰ τῆς γῆς δέ μου πεδία κατακτυπούμενα τοῖς ποσὶ τῶν ἵππων καὶ τῶν ὅπλων ποιεῖ μου προσπελάζειν τὸν ἦχον τοῖς ὠσίν (ἐλεδεμὰς ἡ τὸ δέμας ἡμῶν τῷ φόβῳ λαμβάνουσα καὶ ταράττουσα· ἢ ἐλεδεμνὰς ἡ ἑλοῦσα ἀπὸ τῶν δεμνίων) 84 ἔχει (ἠχεῖ) δέ, φησί, τρόπον ποταμῶν τὰ πεδία τῆς γῆς μου 85 τοῦ καὶ ὄρη ῥηγνύντος 87 ἀποστήσατε (φυγεῖν ποιήσατε) 88 μετὰ βοῆς (ὑπεράνω) 93 πότερα δῆτ' ἐγώ: πότερον πρόσφυγες τῶν πατρῴων ξοάνων γενώμεθα ἢ ἄλλο τι πράξομεν; 94 ἐπ' ἀγαθῶν (i. ἀγαθῷ) ἱδρυμένοι. ἢ ἐπὶ τῶν ἰδίων, φησί, καθεδρῶν καθεζόμενοι ἀκμάζει: καιρὸς ἥκει. οἷον; ἀκμῆς καὶ ὀξυλαβίας χρῄζει τὰ πράγματα. πρὸς ἀλλήλας δὲ ταῦτά φησι (i. φασι) 95 τί ἑστῶτες στενάζομεν καὶ οὐχ ἱκετεύομεν;

---

83 τοῖς ὅπλοις H λαμβάνουσα ἢ ταράττουσα et ζήτει· ἐλεδεμνὰς ἡ ἑλοῦσα H

ΧΟΡΟΥ ἡ Η
ἀκούετ᾽ ἢ οὐκ ἀκούετ᾽ ἀcπίδων κτύπον;
πέπλων καὶ cτεφέων
πότ᾽, εἰ μὴ νύν, ἀμφὶ λιτάν᾽ ἕξομεν;

ΧΟΡΟΥ ἡ Θ
κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
τί ῥέξεις; προδώσεις,
παλαίχθων Ἄρης, γᾶν τεάν;

ΧΟΡΟΥ ἡ Ι
ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ᾽, ἔπιδε πόλιν,
ἅν ποτ᾽ εὐφιλήταν ἔθου.

ΧΟΡΟΥ ἡ ΙΑ
θεοὶ πολισσοῦχοι χθονός,
ἴτ᾽, ἴτε πάντες, ἴδετε παρθένων

---

97 'στεφέων radendo factum ex στεφάνων' (uno teste Duebnero) 98 νῦν ἀμφίλιταν pr. ἀμφιλιτὰν tert. ἕξομεν (fort. corr. ex ἕξωμεν) pr. ἐξίομεν sec. 101 ἄρησ τᾶν τεᾶν; ὦ 102 δαίμων pr. δαῖμον sec. 103 εὐφιλήτᾱν (H supra) ant. 104 πολιάοχοι 105 ante τ᾽ιθ᾽ (sic ant.) rasura quattuor vel quinque litterarum

---

96 ἀκούετ᾽ ἢ οὐκ ἀκούετ᾽: ἐπεὶ ἀγνῶτές εἰσι, τοῦτό φασιν, ἆρα φανταζόμεθα ἢ ἀληθῶς ἀκούομεν; 97 πέπλων καὶ στεφέων: πότε στέφη ῥίψομεν ἢ πέπλους ἐπὶ γῆς ἢ νῦν, τραπεῖσαι ἐπὶ λιτανείαν τὴν περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως; παρετίθεσαν γὰρ καὶ πέπλους· ἐνέδυον γὰρ καὶ [καὶ ἐνέδυον καὶ] πέπλους τὰ ἀγάλματα. Ὅμηρος· πέπλον ὅστις τοι χαριέστατος 98 τὴν περὶ ἡμῶν λιτανείαν, ἢ πολυ παράκλητον 99 κτύπον δέδορκα: μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐναργέστερον, ὡς τὸ ἤκουσας ὁ κόραξ οἷος ἦλθ᾽ ἐξερέου [ἐξ ὀρέου] (i. ἐξ Ὠρεοῦ); ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν θρηνῳδίᾳ καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς. ἔστι δὲ δοχμιακά (δοχμικά). ὅμοιον τὸ πόλεμος αἵρεται πρὸς ἐμὲ καὶ θεούς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν. ἀλλὰ καὶ παρ᾽ Εὐριπίδῃ· ἐγὼ δ᾽ οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις 101 παλαίχθων Ἄρης: ἐκ πολλοῦ κληρωσάμενος τήνδε τὴν γῆν. τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης· καὶ Ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρὰ αὐτοῖς. Ἀττικῶς δὲ τῇ κλητικῇ ὦ Ἄρης. οἱ δὲ γρ. ὦ Ἄρη. ἱερὰ δὲ ἡ Θήβη τοῦ Ἄρεως ἄνωθεν. ἔστιν οὖν παλαίχθων ὁ πάλαι τὴν γῆν κατέχων 102 ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι. δειλίαν γὰρ ἐμφαίνουσι διὰ τούτου 103 ἥν ποτε ἔθου εὖ πεφιλημένην 105 σαφὲς ἐνταῦθα ὅτι ἐκ παρθένων ἐστὶν ὁ

---

101 Ἀττικὸν H

ἱκέσιον λόχον δουλοσύνας ὕπερ.

ΧΟΡΟΥ ἡ ΙΒ

κῦμα γὰρ περὶ πτόλιν
δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς
Ἄρεος ὀρόμενον.

ΧΟΡΟΥ ἡ Α

σὺ δ' ἀλλ', ὦ Ζεῦ, Ζεῦ, πάτερ παντελές, στρ. α'
πάντως ἄρηξον δαΐων ἅλωσιν.

ΧΟΡΟΥ ἡ Β

Ἀργέϊοι δὲ πόλισμα Κάδμου
κυκλοῦνται· φόβος δ' ἀρῄων ὅπλων·
διάδετοί τε δὴ γένυος ἱππίας
κινύρονται φόνον χαλινοί.

ΧΟΡΟΥ ἡ Γ

ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσόοις σάγαις, πύλαις ἑβδόμαις
προσίστανται πάλῳ λαχόντες

. . . .

---

107 περιπτόλιν .γάρ. 109 ὀρόμενον ‖ ἀλλ' ὦ Ζεῦ πάτερ 112 ἀργεῖοι δε ant. δὲ sec. 113 ἀρηΐων 114 διαδέτοι γενύων ἱππείων, sed in marg. διάδετοι rec. 117 δορυσσόοισ, ultima littera in ras. *****σ pr. σαγᾶισ sec. post ras.

χορός. ἐπίδετε, φησίν, ἡμᾶς ἱκετευούσας τρόπον δούλων. ἱκετεύομεν γὰρ ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι 106 νῦν τὸ πλῆθος φόβῳ δουλείας ἱκετευούσας 108 δοχμολόφων: τῶν ἐπινευόντων τοὺς λόφους. ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. ἢ τῶν κορυθαιόλων· Ὅμηρος κορυθαιόλος Ἕκτωρ. τὸ γὰρ κινούμενον κράνος δόχμιον τῇδε κἀκεῖσε γίνεται. ἡ δὲ κίνησις κατηγορεῖ τοῦ ἐμπράκτου. δοχμολόφων οὖν τῶν ἐπινευόντων τοῖς λόφοις καχλάζει: ταῖς πνοαῖς τῶν ἀνδρῶν καχλάζει ὥσπερ κῦμα. κἀχλάζει δὲ οὐ βορέου ἢ νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεως 110 πάντων ἔχων τέλος πάντως καὶ ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τῶν πολεμίων ἅλωσιν γενέσθαι 113 φόβος δ' ἀρηΐων: λείπει ἡ ὑπό. ὁ ὑπὸ τῶν ἀρηΐων ὅπλων φόβος ταράσσει 114 διάδετοι γενύων: θρηνοῦσιν ἡμῶν τὴν ἀναίρεσιν. οἷον, προφωνοῦσιν οἱ ἐν ταῖς γένυσι τῶν ἵππων χαλινοί 117 δορυσσόοις: ταῖς διὰ τῶν δοράτων σωζούσαις πανοπλίαις πολεμικαῖς πανοπλίαις 118 λαχμῷ λαχόντες τὰς πύλας

ΧΟΡΟΥ ἡ Ζ

σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος, μεσῳδός
ῥυσίπολις γενοῦ, Παλλάς, ὅ θ' ἵππιος
ποντομέδων ἄναξ
ἰχθυβόλῳ μαχανᾷ, Ποσειδᾶν,
ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου.

ΧΟΡΟΥ ἡ Δ

σύ τ', Ἄρης, φεῦ φεῦ, Κάδμου ἐπώνυμον ἀντ. α'
πόλιν φύλαξον κήδεσαί τ' ἐναργῶς.

ΧΟΡΟΥ ἡ Ε

καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀΰτοῦσαι πελαζόμεσθα.

ΧΟΡΟΥ ἡ ς

καὶ σύ, Λύκει' ἄναξ, Λύκειος γενοῦ
στρατῷ δαΐῳ στόνων ἀπύᾳ,
σύ τ', ὦ Λατογένεια κούρα,
Ἄρτεμι φίλα, τόξον εὐτυκάζου.

---

121 ῥυσίπτολισ 123 μαχανᾶ [Η Η] ant. 124 φόνων pr. φόνων [βου.] sec. 125 ἐπώνυμον κάδμου 127 ἅτε [Η] ant. 128 σέθεν 'ἐξ (sine γὰρ) 129 λιταῖσ ι in θεοκλύτοισ e corr. 130 ἀπύουσαι corr. ex ἀπίουσαι ant. 131 λύκειοσ corr. ex λύκιοσ ant. 132 ἀΰτᾶσ 134 κοῦρα pr. κούρα sec. τόξον ἐντυκάζου ‖ ἄρτεμι φίλα, sed ἐντ in litura e corr. m. sec. (πτυκάζου pr. auctore Duebnero, ςυκάζου Mendelssohnio)

---

120 σύ τ', ὦ Διογενές: σύ τε, ὦ κράτος ἐν πολέμοις Ἀθηνᾶ. ὑπὸ δὲ ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται, ὡς παρθένοι. καὶ ταῦτα δὲ δοχμικά ἐστιν καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασίμως (i. ὀκτασήμως) βαίνῃ. κυρίως δὲ εἶπον βαίνει (i. βαίνῃ)· ῥυθμοὶ γάρ εἰσι· βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται 121 ὅ θ' ἵππιος: καὶ σύ, ὦ Πόσειδον, ὃς ἀνάσσεις ἐπὶ θήρᾳ ἰχθύων 123 τιμᾶται παρὰ Θηβαίοις ὁ Ποσειδῶν (τῇ τοὺς ἰχθῦς τιτρωσκούσῃ τριαίνῃ) 124 ἐπίλυσιν φόβων: πάλιν δὶς εἶπεν τὸ ἐπίλυσιν. τεταραγμένης δὲ ψυχῆς ταῦτα ἤδη καὶ ἐμφάσεως ἕνεκεν λεγόμενα 126 κήδεσαί τ' ἐναργῶς: κηδεστὴς ἐναργῶς γενοῦ. Ἁρμονίαν γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν Κάδμος. φρόντισον ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς 129 μεγάλαις, ἃς καὶ θεὸς ἀκούσειεν 131 Λύκειος γενοῦ: πολέμιος· οἷον, ὥσπερ λύκος αὐτοῖς ἐφόρμησον ἀνθ' ὧν ἡμεῖς νῦν θρηνοῦμεν. οὕτως τινὲς τὸ Λύκειος. ἤ, ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς ἀΰτῆς τῶν στόνων γενοῦ, οἷον ἐπὶ τοῦ πολέμου 134 (εὖ πυκάζου ἀπὸ τοῦ πύκα τοῦ ἐπιρ-



ΧΟΡΟΥ ἡ ΙΑ

ἒ ἒ ἒ ἔ, στρ. β′
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.

ΧΟΡΟΥ ἡ ΙΒ

ὦ πότνι᾽ Ἥρα,
ἔλακον ἀξόνων βριθομένων χνόαι.

ΧΟΡΟΥ ἡ Ι

Ἄρτεμι φίλα, ἒ ἔ,
δοριτίνακτος αἰθὴρ δ᾽ ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει; τί γενήσεται;
ποῖ δὲ τέλος ἔτ᾽ ἐπάγει θεός;

ΧΟΡΟΥ ἡ ΙΓ

ἒ ἒ ἒ ἔ, ἀντ. β′
ἀκροβόλων δ᾽ ἐπάλξεων λιθὰς ἔρχεται.

ΧΟΡΟΥ ἡ ΙΔ

ὦ φίλ᾽ Ἄπολλον,
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων.

ΧΟΡΟΥ ἡ ΙΕ

ἐκ Διόθεν . . . .
πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχᾳ·
σύ τε, μάκαιρ᾽ ἄνασς᾽ Ὄγκα, ὑπὲρ πόλεως
ἑπτάπυλον ἕδος ἐπιρρύου.

---

136 ἀμφιπόλιν pr. ἀμφὶπόλιν rec. 137 πότνια ἥρα corr. ex ἥρη ant. 138 χνόαί 139 ἐ-ἐ—ἐ, ἐ 140 δὲ αἰθὴρ 142 ποῖ δ᾽ ἔτι τέλοσ ἐπάγει 143 ἐ ἐ ἐ ἔ 144 σ in λιθὰσ e corr. ant. 145 ὦ 147 καὶ διόθεν (sine lacuna) 148 ἐν μάχαισί τε, μάκαιρ᾽ 149 in ὄγκα et ante et post ὄ rasura, ut possit ὤγκα fuisse προπόλεωσ, ubi πρὸ rec. 150 ἐπιρόου pr. ἐπιρρ(ύ)ου sec.

ρήματος) 135 ἐπίρρημα θαυμαστικόν 138 ἔλακον ἀξόνων: ἀκούω, φηcί, cτεναγμὸν τῶν χνοῶν. λέγουcι καὶ μετὰ τοῦ ῑ οἱ ποιηταὶ τὸ χνοιαί. παρὰ τὸ μέγα δ᾽ ἔβραχε φήγινος ἄξων. χνόαι δὲ τὰ ἀκροξόνια (i. ἀκραξόνια), περὶ ἃ αἱ χοινικίδες οἱ παραξονῖται λεγόμενοι
144 ἀκροβόλων: ἀκροβολίζεcθαί ἐcτι τὸ ἐν πολέμῳ cυμβολῆc προκατάρχεcθαι 145 ὦ φίλ᾽ Ἄπολλον: ὦ φίλε Ἄπολλον καὶ Ἀθηνᾶ καὶ Διόθεν πολεμόκραντον 148 πολεμόκραντον: ἐπεὶ οὖν (i. οὐ) μιαρὸc ὁ ἐν πολέμῳ φόνος, ἁγνὸν τέλος ἔφη, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες καθαροί εἰcι μᾶλλον ἢ οἱ φίλουc ἀνελόντες (ὡc εἰ ἔλεγεν ἡ ἀπόβαcιc τοῦ πολέμου Διόθεν) 149 (παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ. καὶ ὁ Κάδμος γὰρ Φοῖνιξ) Ὄγκα: ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις. ἐπεύχεται δὲ τὴν

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ παναλκεῖϲ θεοί, στρ. γ'
ἰὼ τέλειοι τέλειαί τε γᾶϲ τᾶϲδε πυρ-
γοφύλακεϲ, πόλιν δορίπονον μὴ προδῶθ'
ἑτεροφώνῳ στρατῷ.
κλύετε παρθένων, κλύετε πανδίκουϲ
χειροτόνουϲ λιτάϲ.

ΗΜΙΧΟΡΙΟΝ Β

ἰὼ φίλοι δαίμονεϲ, ἀντ. γ'
λυτήριοί τ' ἀμφιβάντεϲ πόλιν, δείξαθ' ὡϲ
φιλοπόλειϲ, μέλεϲθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἥξετε·
φιλοθύτων δέ τοι πόλεοϲ ὀργίων
μνήϲτορεϲ ἔϲτε μοι.

ΕΤΕΟΚΛΗϹ

ὑμᾶϲ ἐρωτῶ, θρέμματ' οὐκ ἀναϲχετά,
ἦ ταῦτ' ἄριϲτα καὶ πόλει ϲωτήρια,

---

151 παναρκεῖσ pr. παναρ$^{\lambda}$κεῖσ tert. 152 τᾶσδέγε 155 πανδίκωσ m. ant. corr. ex πανδίκουσ 158 λυτήριοι ἀμφιβάντεσ 159 φιλοπόλιεσ μέλεσθε δὲ 160 δ' ἀρήξατε 161 πόλεωσ 162 ἐστέ μοι 163 Eteoclis nota nulla

---

ἐπιχώριον Ἀθηνᾶν, ὡϲ ὁ Θετταλὸϲ Ζεῦ ἄνα Δωδωναῖε, καὶ ὁ Λύκιοϲ κλῦθι ἄναξ, ὅϲ που Λυκίηϲ, καὶ ὁ Ἴλιοϲ Ζεῦ Ἴδηθεν μεδέων. Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοιϲ, Ὄγκα δὲ παρὰ τοῖϲ Φοίνιξι. καὶ Ὀγκαῖαι πύλαι. μέμνηται καὶ Ἀντίμαχοϲ καὶ Ῥιανόϲ. Φοίνιξ δὲ ἄνωθεν ὁ Κάδμοϲ 151 κατὰ πάντα βοηθοί. τοῦτο γὰρ ἴδιον θεῶν 154 ἑτεροφώνῳ: τῷ μὴ βοιωτιάζοντι. ἐπειδὴ δὲ Ἕλληνεϲ καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπεν βαρβαροφώνῳ. ἄλλωϲ. τῷ ἔχοντι ἄνδραϲ ἐκ πολλῶν ἐθνῶν. Ὅμηροϲ· ἄλλη δ' ἄλλων γλῶϲϲα 155 κλύετε πανδίκωϲ ἡμῶν δικαίωϲ εἰϲ οὐρανὸν ἀνεχουϲῶν τὰϲ χεῖραϲ. τοῦτο δὲ τὴν ἐκ ψυχῆϲ ἱκετείαν δηλοῖ. Ὅμηροϲ· χεῖραϲ ἀναϲχόντεϲ 158 παρὰ τὸ ὃϲ Χρύϲην ἀμφιβέβηκαϲ 159 μέλεϲθε δ' ἱερῶν δημίων: μελέτην ἔχετε τῶν ἱερῶν δημοϲίων 161 τῶν ἐκ τῶν πανηγύρεων τελετῶν μνημονεύϲατε 163 καθ' ὑπόκριϲιν ἀναγνωϲτέον. ἢ ὡϲ ἐν ἐρωτήϲει μετ' ἐπιτιμήϲεωϲ ὑμᾶϲ ἐρωτῶ θρέμματα: εἰώθαϲιν οἱ ποιηταὶ δόγματά τινα εἰϲ ὠφέλειαν τῶν ἀκουόντων εἰϲφέρειν. οὕτωϲ καὶ ὁ Αἰϲχύλοϲ ἐνταῦθα εἰϲάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μετὰ ἀπειλῆϲ μὴ ἀπάγειν τὸν ὄχλον εἰϲ δειλίαν, ὥϲτε διὰ φόβον αὐτοὺϲ φυγεῖν. ἀλόγοιϲ δὲ ζῴοιϲ παρέβαλε τὰϲ παρθένουϲ, ὅτι ἐν φαντασίᾳ γεγόναϲι πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀγαθῇ (i. ἀληθεῖ). εἰϲὶ γὰρ καὶ

στρατῷ τε θάρcoc τῷδε πυργηρουμένῳ,
βρέτη πεcούcαc πρὸc πολιccούχων θεῶν
αὔειν, λακάζειν, cωφρόνων μιcήματα;
μήτ' ἐν κακοῖcι μήτ' ἐν εὐεcτοῖ φίλῃ
ξύνοικοc εἴην τῷ γυναικείῳ φυτῷ.
κρατοῦcα μὲν γὰρ οὐχ ὁμιλητὸν θράcoc,
δείcαcα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταιc τάcδε διαδρόμουc φυγὰc
θεῖcαι διερροθήcατ' ἄψυχον κάκην·
τὰ τῶν θύραθεν δ' ὡc ἄριcτ' ὀφέλλετε,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
τοιαῦτά τἂν γυναιξὶ cυνναίων ἔχοιc.
κεἰ μή τιc ἀρχῆc τῆc ἐμῆc ἀκούcεται,
ἀνήρ, γυνή τε, χὤ τι τῶν μεταίχμιον,
ψῆφοc κατ' αὐτῶν ὀλεθρία βουλεύcεται,
λευcτῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω,
τἄξωθεν· ἔνδον δ' οὖcα μὴ βλάβην τίθει.
ἤκουcαc ἢ οὐκ ἤκουcαc, ἢ κωφῇ λέγω;

---

165 στρατῶ ἀρ in θάρσοσ in litura τῶδε πυργηρουμένω corr. ex πυργηρουμένη ant. πυργηρουμένωι sec. 168 ante φίληι rasura duarum vel fort. trium litterarum 169 τῶ γυναικείω γένει 174 ὀφέλλεται 176 abest 177 ἀρχῆσ τῆσ ἐμῆσ ant. 180 φύγοι pr. φύγηι sec. 181 ἡ in γυνὴ rec. in litura trium quattuorve litterarum 182 post δ' ras. 183 κωφῆ (vel κωφή) ant. κωφῆ[1] sec.

φαντασίαι ἀληθεῖc 165 ἔcω τειχῶν ὄντι 167 λακάζειν: ἠχεῖν. ληκῶ, λακάζω κατὰ τροπὴν καὶ παραγωγήν cωφρόνων μιcήματα: ταῦτα, προcπίπτειν τοῖc ξοάνοιc καὶ βοᾶν. ταῦτα οὖν ἃ πράττετε μιcήcειαν οἱ (i. ἂν οἱ) εὖ φρονοῦντεc ἄνδρεc 168 εὐδαιμονίᾳ, εὐετηρίᾳ 170 ἐν θορύβοιc οὐ καθεκτή 173 δειλίαν διὰ τοῦ θορύβου ἐμβεβλήκατε 178 ἀνὴρ γυνή τε: νέοc ἢ γέρων. ἀκαίρωc δὲ ἡ λέξιc τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶc ὀργιζόμενον. ἄλλωc. κεκινδύνευται τῷ Αἰcχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. γένουc γὰρ ὄντοc τοῦ ἀνδρὸc καὶ τῆc γυναικόc, μέcον ἄλλο εἶπεν· εἰ μὴ ἄρα τιc λέγοι ὅτι ὀργιζόμενοc οὕτωc εἴρηκεν, ὡc καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνοc γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν, φηcί, κἂν ὄcτρακον ἢ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν cίδηροc, κἂν χαλκόc, cυνεκβάλλεcθαι 180 τὸν ἐκ δήμου λευcτῆρα μόρον 182 τοὺc πολίταc δηλονότι θορυβοῦcα

ΧΟΡΟΣ

ὦ φίλον Οἰδίπου τέκος, ἔδειϲ᾽ ἀκού- στρ. α´
ϲαϲα τὸν ἁρματόκτυπον ὄτοβον, ὄτοβον,
ὅτε τε ϲύριγγεϲ ἔκλαγξαν ἑλίτροχοι,
ἱππικῶν τ᾽ ἀγρύπνων
πηδαλίων δία ϲτόμια
πυριγενετᾶν χαλινῶν.

ΕΤΕΟΚΛΗΣ

τί οὖν; ὁ ναύτηϲ ἆρα μὴ εἰϲ πρῷραν φυγὼν
πρύμνηθεν εὗρε μηχανὴν ϲωτηρίαϲ,
νεὼϲ καμούϲηϲ ποντίῳ πρὸϲ κύματι;

ΧΟΡΟΣ

ἀλλ᾽ ἐπὶ δαιμόνων πρόδρομοϲ ἦλθον ἀρ- ἀντ. α´
χαῖα βρέτη, θεοῖϲ πίϲυνοϲ, ἅτε νιφάδοϲ
ὅτ᾽ ὀλοᾶϲ νιφομέναϲ βρόμοϲ ἐν πύλαιϲ,
δὴ τότ᾽ ἤρθην φόβῳ
πρὸϲ μακάρων λιτάϲ, πόλεοϲ
ἵν᾽ ὑπερέχοιεν ἀλκάν.

ΕΤΕΟΚΛΗΣ

πύργον ϲτέγειν εὔχεϲθε πολέμιον δόρυ.

---

184 Χ (ο supra) marg., et sic in proximis ὦ 185 post ἀκού ‖ ras. ἁρματόκτυπον ‖ ὄτοβον ὅτι, sed ante ras. ύ σύ ‖ ριγγεσ (δ᾽ supra) ἔκλαγξαν, sed δ᾽ m. tert. 187 ἀΰπνων 188 διὰ, ϛόμα ω in χαλινῶν e corr. sec., ante quam fort. α fuit 190 ἐτεο (κ supra) mrg., et sic in proximis ἄρα μὴσ ant. μὴσ tert. πρώραν 191 post εὗρε ras. unius litterae 192 ποντίωι ἐν κύματι] ἐν κύ m. rec. in rasura ampliore 194 πίσυνοσ θεοῖσ ‖ νιφάδοσ (sine ἅτε) 195 νειφομένησ (.α. supra) ant. post πύλαισ ras. 197 πόλεωσ ἀλκᾶν

---

185 ἀπολογοῦνται διότι ἐθορύβηϲαν 186 (ϲύριγγεϲ τὰ ξύλα τὰ μέϲον τοῦ περιφεροῦϲ ξύλου τοῦ τροχοῦ διαπεραιούμενα. τὸ μὲν γὰρ αὐτῶν ἐϲτι μέγα, τὸ δὲ ἕτερον μικρότερον, ἄλλο δὲ αὐτῶν [αὖ τοῦ] δευτέρου μικρότερον, λόγον τῶν αὐλῶν τῶν ϲυρίγγων ἐπέχοντα) ἑλίτροχοι: περὶ ἃϲ ἑλίϲϲονται οἱ τροχοί 187 τῶν μὴ εὐντων με ἠρεμεῖν 191 μηχανὴν ϲωτηρίαϲ: οὐκοῦν οὐδὲ ὑμεῖϲ μηχανὴν ϲωτηρίαϲ παριοῦϲαι (ε supra) [περιιοῦϲαι] τὴν πόλιν εὑρήϲετε 193 βαϲιλικά, παρὰ τὴν ἀρχὴν 194 νιφάδα τὸ τῶν πολεμίων ἔθνοϲ 198 ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί 199 πύργον ϲτέγειν εὔχεϲθε: τοῦτο εὔχεϲθε,

ΧΟΡΟϹ

οὐκ οὖν τάδ᾽ ἔϲται πρὸϲ θεῶν;

ΕΤΕΟΚΛΗϹ

ἀλλ᾽ οὖν θεοὺϲ
αὐτοὺϲ ἁλούϲηϲ πόλεοϲ ἐκλείπειν λόγοϲ.

ΧΟΡΟϹ

μήποτ᾽ ἐμὸν κατ᾽ αἰῶνα λίποι θεῶν   στρ. β′
ἅδε πανήγυριϲ, μηδ᾽ ἐπίδοιμι τάνδ᾽
ἀϲτυδρομουμέναν πόλιν καὶ ϲτράτευμ᾽
ἁπτόμενον πυρὶ δαΐῳ.

ΕΤΕΟΚΛΗϹ

μή μοι θεοὺϲ καλοῦϲα βουλεύου κακῶϲ·
πειθαρχία γάρ ἐϲτι τῆϲ εὐπραξίαϲ
μήτηρ, γονῆϲ ϲωτῆροϲ· ὧδ᾽ ἔχει λόγοϲ.

ΧΟΡΟϹ

ἔϲτι· θεοῖϲ δ᾽ ἔτ᾽ ἰϲχὺϲ καθυπερτέρα·   ἀντ. β′
πολλάκι δ᾽ ἐν κακοῖϲι τὸν ἀμήχανον
κἀκ χαλεπᾶϲ δύαϲ ὕπέρ τ᾽ ὀμμάτων

---

200 Χ (ο superscr.) mrg.   οὔκοῦν, sed acuto raso, circumflexo a tert. in ras.   θεῶν· ἀλλ᾽ (ἐτεοκλ superscr.), nomine m. rec. superscripto   201 τοὺσ τῆσ ἁλούσησ πόλεωσ   ἐκλιπεῖν ant. ἐκλείπειν sec.   λείποι   203 πανάγυρισ   τᾶν ‖ δ᾽   204 ο in δρο et υ in ου tert. in ras.   ϛ in ϛράτευ ‖ μ᾽ sec. in ras.   208 γυνὴ   209 ἔστι θεοῦ ant., sed θεοῦ (οισ superscr.) sec., θεοῦ (οῖσ superscr.) tert.   in δ᾽ἔτ accentus fort. tert.   210 τὰν   211 χαλεπὰσ ant. χαλεπᾶσ tert.   et ante et post δύ ras.   ὕπερθ᾽ ὀμ-

---

διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶϲ ὥϲτε τὸ δόρυ ϲτέγειν καὶ ἀπείργειν τοὺϲ πολεμίουϲ   200 οὐκ ἀλόγωϲ λέγει τοὺϲ τῆϲ πόλεωϲ θεοὺϲ φεύγειν, πορθηθείϲηϲ αὐτῆϲ. λέγεται γὰρ ὅτι, ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφάνηϲαν οἱ θεοὶ τοῖϲ Τρωϲὶν ἀνελόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα αὐτῶν   (εἰϲ τὴν Τροίην γὰρ τοῖν (i. τοιοῦτόν) τι ἐφαίνετο)   202 μήποτ᾽ ἐμὸν κατ᾽ αἰῶνα: μηδέποτε, φηϲίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιειν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰϲχύλοϲ παρὰ τῷ Ὁμήρῳ τὸ θεῖον δύϲονται ἀγῶνα, παρὰ γοῦν τὸ εἰϲ τὸ αὐτὸ ἀγείρεϲθαι ἀγῶνα εἴρηκεν. τὴν οὖν τῶν θεῶν εἰϲ τὸ αὐτὸ ϲυναγωγὴν πανήγυριν τραγικώτερον εἶπεν   205 γρ. τυφόμενον, οἷον καιόμενον πολεμίῳ πυρί   207 πειθαρχία γάρ ἐϲτι τῆϲ εὐπραξίαϲ: πάνυ λαμπρῶϲ ὁ Αἰϲχύλοϲ τὴν πειθαρχίαν μητέρα εὐπραξίαϲ ὠνόμαϲεν, ἐμφαίνων ὅτι καλόν ἐϲτι τὸ πειθαρχεῖν. πειθόμεναι γὰρ καὶ αἱ πόλειϲ τοῖϲ κρατοῦϲιν ἑϲτᾶϲιν. τινὲϲ δὲ ἀντὶ τοῦ εὖ πράϲϲειν. ϲωματοποιεῖ δὲ τὰ πράγματα   208 λείπει Διόϲ·

κρημναμενᾶν νεφελᾶν ϲαοῖ.

ΕΤΕΟΚΛΗϹ

ἀνδρῶν τάδ' ἐϲτί, ϲφάγια καὶ χρηϲτήρια
θεοῖϲιν ἔρδειν, πολεμίων πειρωμένων·
ϲὸν δ' αὖ τὸ ϲιγᾶν καὶ μένειν εἴϲω δόμων.

ΧΟΡΟϹ

διαὶ θεῶν πόλιν τε νεμόμεθ' ἀδάματον, ϲτρ. γ'
δυϲμενέων δ' ὄχλον πύργοϲ ἀποϲτέγει.
τίϲ τάδε νέμεϲιϲ ϲτυγεῖ;

ΕΤΕΟΚΛΗϹ

οὔτοι φθονῶ ϲοι δαιμόνων τιμᾶν γένοϲ·
ἀλλ' ὡϲ πολίταϲ μὴ κακοϲπλάγχνουϲ τιθῇϲ,
ἕκηλοϲ ἴϲθι, μηδ' ἄγαν ὑπερφοβοῦ.

ΧΟΡΟϹ

ποταίνιον κλύουϲα πάταγον ἀνάμιγα ἀντ. γ'
ταρβοϲύνῳ φόβῳ τάνδε ποτὶ ϲκοπάν,
τίμιον ἕδοϲ, ἱκόμαν.

ΕΤΕΟΚΛΗϹ

μὴ νῦν, ἐὰν θνήϲκονταϲ ἢ τετρωμένουϲ
πύθηϲθε, κωκυτοῖϲιν ἁρπαλίζετε.
τούτῳ γὰρ Ἄρηϲ βόϲκεται, φόνῳ βροτῶν.

ΧΟΡΟϹ

καὶ μὴν ἀκούω 'γ' ἱππικῶν φρυαγμάτων.

ΕΤΕΟΚΛΗϹ

μὴ νῦν ἀκούουϲ' ἐμφανῶϲ ἄκου' ἄγαν.

μάτων 212 κριμναμένᾱν ant. κρημναμένᾱν tert. νεφέλᾱν ὀρθοῖ 213 ἔστι 214 πειρωμένοισ pr. πειρωμένοισ (ων supra) tert. 216 διὰ νεμόμεσθ' ἀδάμαντον 218 τί 219 ante γένοσ ras. 220 post κακοσπλάγχνουσ ras. 221 εὔκηλοσ 222 ἄμμιγα 223 ταρβοσύνω φόβω τάνδ' (τὰνδ' tert.) ἐσ ἀκρόπολιν 227 τούτω et φόνω 229 huic versui in mrg. praescriptum ἐτεο (κ supra), versibus 235 et

---

γυνὴ Διὸϲ ϲωτῆροϲ οἰκείωϲ ἔχουϲα πρὸϲ τὸ ϲώζεϲθαι 212 (immo 210) κριμναμέναν νεφέλαν: τὸν μὴ δυνάμενον ἑαυτῷ μηχανήϲαϲθαι καὶ βοηθῆϲαι ὁ θεὸϲ ὀρθοῖ 213 τὰ εἰϲ χρῆϲιν καὶ θυϲίαν θύματα 215 τῇ γυναικί 216 λείπει δι' ἐπικουρίαν 218 (εἶπεν Ὅμηροϲ μ ψλθ') 219 τὸ τιμᾶν τοὺϲ ϲώζονταϲ θεούϲ. (218) οὐδεὶϲ ταῦτα ὁρῶν ἡμᾶϲ ποιούϲαϲ μιϲήϲειεν 223 τὴν ἀκρόπολιν τίμιον ἕδοϲ 226 μὴ ἁρπάϲητε τὸ θρηνεῖν 227 ταῦτα νόμιμα Ἄρεωϲ 229 κἂν ἀκούῃϲ,

ΧΟΡΟC

cτένει πόλιcμα γῆθεν, ὡc κυκλουμένων.

ЄΤЄΟΚΛΗC

οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.

ΧΟΡΟC

δέδοικ', ἀραγμὸc δ' ἐν πύλαιc ὀφέλλεται.

ЄΤЄΟΚΛΗC

οὐ cῖγα; μηδὲν τῶνδ' ἐρεῖc κατὰ πτόλιν.

ΧΟΡΟC

ὦ ξυντέλεια, μὴ προδῷc πυργώματα.

ЄΤЄΟΚΛΗC

οὐκ ἐc φθόρον cιγῶc' ἀναcχήcει τάδε;

ΧΟΡΟC

θεοὶ πολῖται, μή με δουλείαc τυχεῖν.

ЄΤЄΟΚΛΗC

αὐτὴ cὺ δουλοῖc καὶ cὲ καὶ πᾶcαν πόλιν.

ΧΟΡΟC

ὦ παγκρατὲc Ζεῦ, τρέψον εἰc ἐχθροὺc βέλοc.

ЄΤЄΟΚΛΗC

ὦ Ζεῦ, γυναικῶν οἷον ὤπαcαc γένοc.

ΧΟΡΟC

μοχθηρόν, ὥcπερ ἄνδρεc ὧν ἁλῷ πόλιc.

ЄΤЄΟΚΛΗC

παλινcτομεῖc αὖ θιγγάνουc' ἀγαλμάτων;

ΧΟΡΟC

ἀψυχίᾳ γὰρ γλῶccαν ἁρπάζει φόβοc.

---

240 $\overset{o}{X}$, ceteris usque ad 247 omnibus nihil nisi —— 231 ἐμ' 233 οὐ·σίγα· 235 φόνον pr. φθόρον tert., sed θ prope evanida ἀνασχήση 236 πολίται 237 καμὲ καὶ πᾶσαν πτόλιν, ubi κἀμὲ tert. 240 ἄνδρασ ἁλῶ 242 ἀψυχία pr. ἀψυχίᾳ[1] sec.

προcποιοῦ μὴ ἀκούειν 230 ὡc κυκλούντων τὴν πόλιν τῶν πολεμίων, cείεται, φηcὶν, ἡ ἡμετέρα γῆ 234 τὸ κοινὸν ἄθροιcμα τῶν θεῶν, μεταφορικῶc. κυρίωc γὰρ ἡ τῶν cτρατιωτῶν ἄθροιcιc· τέλοc γὰρ τὸ τάγμα. Ὅμηροc· ἐλθεῖν ἐc φυλάκων ἱερὸν τέλοc 236 τοὺc ἰδίουc καὶ πατρῴουc ἐπικαλοῦνται θεούc, μὴ εἰc δουλείαν ἐμπεcεῖν 237 θρηνοῦcα δῆλον ὅτι καὶ κράζουcα cὺ ἡμᾶc δούλουc ποιεῖc 238 βέλοc νῦν τὸν πόλεμον. βέλοc δὲ πᾶν τὸ βαλλόμενον 241 δυcφημεῖc καίτοι τῶν ἀγαλμάτων ἐχομένη 242 ὑπὸ φόβου cυναρπάζομαι

ΕΤΕΟΚΛΗΣ

αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.

ΧΟΡΟΣ

λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.

ΕΤΕΟΚΛΗΣ

σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.

ΧΟΡΟΣ

σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.

ΕΤΕΟΚΛΗΣ

τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς.
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,
θάρσος φίλοις, λύουσα πολέμιον φόβον.

---

246 σπείσομαι pr. πείσομαι sec. (σπ corr. in π) τὸ ὑποσ 248 hinc usque ad v. 270 ne illa quidem, de qua v. ad 229, — nota in mrg. apparet 250 ἀκούσασ 251 παιώνισον, sed ut in ω aliquid correxerit m. tert., quod tamen quale sit non liquet

---

244 λέγοις ἂν ὡς τάχιστα: λέγε, φησί, ταχέως. καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾶν, ἢ ὑπακούειν· γνώσομαι, φησίν, εἰ δυνατόν μοι ποιεῖν ἐστιν ὃ κελεύεις 246 οὐχ ἁπλῶς ἐσίγησεν, ἀλλὰ μετὰ φόβου σιγῶ, σὺν ἄλλοις: ἐπὶ τοῦ παρόντος, φησί, σιγῶ· σὺν ἄλλοις γὰρ τὸ εἱμαρμένον πείσομαι 247 τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ ἀνθ' ὧν ἄλλων δυσφήμων [δυσφήμως] εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι 251 διέστειλεν τὸν ὀλολυγμὸν τοῦ παιῶνος. ὥσπερ (l. καὶ) γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. ὁ γοῦν ποιητής φησιν ἐπὶ τῶν Τρωϊάδων· αἱ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. καὶ ἐπὶ τῶν Ἑλληνίδων· αἵδ' ὀλόλυξαν θυγατέρες τε νυοί τε. ἡ δὲ διάνοια ἁπλῆ· φησὶν οὕτω, κἀμοῦ, φησίν, εὐχομένου ἀκούσασα· πῶς δέ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσειν αὐτοῖς τοῖς θεοῖς καὶ θυσίας ποιεῖν· οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω, ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος Ἑλληνικόν 252 ἐνθουσιαστικῆς θυστάδος: τῆς παρὰ ταῖς θυσίαις γενομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ὡς παρ' Εὐριπίδῃ. ἤ, ᾗ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις· ἤ, ὡς νενομισμένον Ἕλλησι παρὰ τὰς θυσίας ὀλολύζειν 253 τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις. πολέμιον δὲ φόβον τὴν ὀλολυγὴν ἐξηγήσατο ἐν τῷ λύουσα

ἐγὼ δὲ χώρας τοῖς πολιςςούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπιςκόποις,
Δίρκης τε πηγαῖς ὕδατί τ' Ἰςμηνοῦ λέγω,
εὖ ξυντυχόντων καὶ πόλεως ςεςωςμένης,
μήλοιςιν αἱμάςςοντας ἑςτίας θεῶν,
ταυροκτονοῦντας θεοῖςιν, ὧδ' ἐπεύχομαι
θήςειν τρόπαια, δαΐων δ' ἐςθήματα
ςτέψω πρὸ ναῶν δουρίπηχθ' ἁγνοῖς δόμοις.
τοιαῦτ' ἐπεύχου μὴ φιλοςτόνως θεοῖς,
μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμαςιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρςιμον.
ἐγὼ δ' ἐπ' ἄνδρας ἕξ, ἐμοὶ ςὺν ἑβδόμῳ,
ἀντηρέτας ἐχθροῖςι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,
πρὶν ἀγγέλους ςπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέςθαι, καὶ φλέγειν χρείας ὕπο.

---

256 πηγαῖσ οὐδ' ἀπῑσμινοῦ pr., ubi ἀπ' ἰσμηνοῦ sec. 257 σεσωισμένησ 260. 261 θήσειν τρόπαια. πολεμίων δ' ἐσθήμασι· (.τα. supra σι) ‖ λάφυρα δαΐων. δουρίπληχθ' ἀγνοῖσ δόμοισ ‖ στέψω πρὸ ναῶν πολεμίων δ' (τ supra δ') ἐσθήματα, sed ut .τὰ. supra σι, θ' post δουρίπληχ, τ supra δ' addiderit m. sec. 263 πο(ι)φ**μασιν cum duarum minimum litterarum rasura, et ut, quod in rasura repositum, non liqueat. (π..φ'......γμασιν Merk.) 264 μᾶλλο*ν (...α...λο...ν Merk.) 269 ρεί in χρείασ m. tert. in ras.

πολέμιον φόβον διὰ τῶν τοιούτων εὐχῶν λύουςα τὸν τῶν πολεμίων φόβον 256 οὐδ' ἀπ' Ἰςμηνοῦ λέγω: ἀντὶ τοῦ, ςὺν τῷ Ἰςμηνῷ· κατὰ ςχῆμα δὲ ἡ φωνή, οἷον, λέγω ὅτι ςὺν τῷ Ἰςμηνῷ. θύω οὖν αὐτοῖς πᾶςι, τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. ἄλλως. καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰςμηνόν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις 259 λείπει ἡμᾶς, ἡμᾶς ἐπεύχομαι 260 παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομαςία κατὰ τὸν Ἐτεοκλέα· ὥςτε ἀνεβίβαςε τὰ κατὰ τὸν χρόνον ὁ Αἰςχύλος ἐςθήμαςιν ἐςθήματα ἀναθήςω πρὸ τῶν ναῶν τὰ λάφυρα 263 οἷον ἐκφοβήμαςι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας 265 ἡ ἐπὶ πρὸς τὸ ἐχθροῖς

ἐγὼ δὲ ςὺν ἐμαυτῷ ἄλλους ϛ̅, ὥςτε ἐςτὶν αὐτὸς ἕβδομος, ἀντιςτάτας τοῖς πολεμίοις ποιήςομαι ταῖς ἑπτὰ πύλαις, καὶ ςπεύςω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥςτε δι' ἀγγέλων ςυχνῶν ἐξάγειν τὸ ςτράτευμα 268 τοὺς ςυνεχῶς κατεπείγοντας τὴν ἀφ' ἡμῶν ἔξοδον

ΧΟΡΟC

μέλει, φόβῳ δ᾽ οὐχ ὑπνώccει κέαρ· cτρ. α'
γεῖτονες δὲ καρδίας μέριμναι
ζωπυροῦcι τάρβος
τὸν ἀμφιτειχῆ λεών,
δράκοντας ὥc τις τέκνων
ὑπερδέδοικεν λεχαίων δυcευνάτορας
πάντροφος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεὶ πανομιλεὶ
cτείχουcιν· τί γένωμαι;
τοὶ δ᾽ ἐπ᾽ ἀμφιβόλοιcιν
ἰάπτουcι πολίταις
χερμάδ᾽ ὀκριόεccαν.
παντὶ τρόπῳ, Διογενεῖc θεοί,

---

270 $\overset{ο}{Χ}$ mrg., deinceps autem nulla eius modi nota usque ad v. 350 φόβω ὑπνώσει pr. ὑπνώ^{σ}σει tert. 274 δράκοντα·δ᾽ ὥϛισ 275 ὕπερ δέδοικε,´ sed κ rescriptum m. tert., ε post κ e corr. eiusdem m. in ras., ut tamen de pr. non liqueat λεχέων δυσευνήτορασ pr. δυσευν^{ει}ητορ^{α}ασ tert. 276 $\overset{ε}{ᾱ}$πάν ‖ τρο^{φ}μοσ, ubi φ aut ant. aut sec. H $\overset{ε}{ᾱ}$πάν ‖ τρο^{φ}μοσ tert. πανδημεῖ πανομιλεῖ 281 τι δ᾽ 282 ὀκρυόεσσαν pr. ὀκριόεσσαν tert. 283 τρόπω pr. τρόπω^{ι} sec. εἶσ

---

270 ὁ νοῦc· μέλει μοι, φηcίν, ὧν εἶπεν ὁ Ἐτεοκλῆc, ἀλλ᾽ ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν με ποιεῖ καὶ ἡcυχάζειν 271 γείτονες δὲ καρδίας: αἱ δ᾽ ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουcι τὸν ἐν ἐμοὶ φόβον. ἡ καρδία μου, φηcί, δέδοικε τὸν πολιορκοῦντα cτρατὸν ὡc δράκοντα ὑπὲρ τῶν νεοccῶν πελειάς 275 λεχέων (i. λεχαίων): τουτ᾽ ἔcτι, νεμομένων ἐπὶ τῆc καλιᾶc· ταύτην γὰρ λέχος εἶπεν. οἷον τὸν (i. τῶν) ἐν ὡριcμένῳ τόπῳ μενόντων καὶ μήπω δυναμένων ἵπταcθαι. δυcευνήτορας δὲ δυcευνήτους, διὰ τὸν φόβον τοῦ δράκοντος. πάντροφον δὲ τὴν πελειάδα φηcίν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιcτερὰ ἀεί· διὸ ἀνάκειται τῇ Ἀφροδίτῃ. περιcτερὰ δὲ εἴρηται ἡ περιccὰ ἐρῶcα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέcον 277 (οἵπερ) 279 τῆc τύχης δηλονότι 280 πάντοθεν βαλλομένοις· ἢ ἀμφοτέρωθεν 281 ἰάπτουcιν: μετὰ βλάβης βάλλουcιν ἐπιπέμποντες τοῖc πολίταις μου τὴν ὀκριόεccαν χερμάδα

---

275 τὸν — μένοντα — δυνάμενον H

πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.

ποῖον δ' ἀμείψεσθε γαίας πέδον ἀντ. α'
τᾶσδ' ἄρειον, ἐξαφέντες ἐχθροῖς
τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε Διρκαῖον, εὐ-
τραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσειδᾶν ὁ γαιάοχος,
Τηθύος τε παῖδες;
πρὸς τάδ', ὦ πολιοῦχοι
θεοί, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
ἄταν, ῥίψοπλον ἄταν
ἐμβαλόντες, ἄροισθε
κῦδος τοῖσδε πολίταις
καὶ πόλεως ῥύτορες εὔεδροι
. . . . τε στάθητ'
ὀξυγόοις λιταῖσιν.

---

in διογενεῖσ sec. in ras. 286 ε post ψ in ἀμείψεσθε corr. ut videtur, fort. ex α 287 ἐχθροῖσ ἀφέντεσ 289 εὐτρεφέ||στατον 291 γαιάοχοσ (ά superscr.) 292 τηθύ οςε pr. τηθύοσςε tert. 296 καταρίψοπλον pr. καὶ τὰρίψοπλον (ν superscr.) sec. ἄταν (Ĥ superscr.) 299 ῥύτορεσ pr. ῥυτορεσ tert. 300 nihil lacunae ε in τε tert. in ras.

---

285 ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι 286 ποῖον δ' ἀμείψεσθε γαίας πέδον: ἀντὶ τοῦ ποῖον οἰκήσετε δάπεδον ἐντεῦθεν μεταστάντες; εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. ἐὰν ταύτην, φησί, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε; 287 ἄρειον πεδίον προείρηται 288 οἷον, τὴν εὔγειον ταύτην καταλείψαντες εἰς τίνα χωρήσετε; 291 Ποσειδῶν ὁ γαιήοχος: ἢ ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης Ποσειδῶν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι, ἀφ' ὧν οἱ χείμαρροι 293 πρὸς τάδ' ὦ πολιοῦχοι: ἀντὶ τοῦ διὰ ταῦτα. πρὸς ταῦτα γάρ, ὦ πολῖται θεοί, τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥστε αὐτοὺς τὰ ὅπλα ῥῖψαι. τούτου δὲ γενομένου πρὸς ὑμῶν πάνυ ἀνυμνοῖσθε (i. ἂν ὑμνοῖσθε) παρὰ τῶν πολιτῶν 299 (φύλακες τῆς πόλεως) εὔεδροί τε: εὔεδροι στάθητε. συναπτέον τὸ ποῖον ἀμείψεσθε γαίας πέδον 301 ὀξυγόοις λι(τ superscr.): διὰ τὰς ὀξυ-

οἰκτρὸν γὰρ πόλιν ὧδ' στρ. β'
ὠγυγίαν Ἀΐδᾳ προϊάψαι δορὸς ἄγραν,
δουλίαν, ψαφαρᾷ σποδῷ.
ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως·
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,
ἒ ἔ,
νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων, περιρ-
ρηγνυμένων φαρέων.
βοᾷ δὲ καὶ κενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου
βαρείας τις τύχας προταρβῶν.

κλαυτὸν δ' ἀρτιδρόποις ἀντ. β'
ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν.
τί τὸν φθίμενον γὰρ προλέγω

---

302 ὧδ' pr. ὧδ' (supra: τήνδ') rec. 303 ἀΐδα pr. ἀΐδαι sec. (ι non a pr., ut videtur) 306 περθομένᾱν 307 κεχηρωμένασ pr. κεχηρωμένασ (supra: ει) sec. 308 ἐ έ 310 post δὸ et post πλ rasura περι ‖ ρηγνυμένων pr. περὶρ ‖ ρηγνυμένων sec. 312 βοᾶ pr. βοᾶ[ι] sec. δ' ἐκκενουμένᾱ 313 λαΐδοσ pr. λαΐδοσ (supra: η) rec. λείασ mrg. m. tert. 314 τοι προταρβῶ 315 ἀρτιτρόποισ pr. ἀρτιτρόποισ (supra: .Δ.) sec. 318 προλέγω pr. προλέγω (supra: περισσὸν) rec.

θρηνήτους λιτὰς ἡμῶν 303 (ἀπ' Ὠγύγου βασιλεύσαντος. ἐκεῖ) διὰ δόρατος ἀγρευθεῖσαν 304 ἀσθενεῖ, ἐλαφρᾷ 308 διέκοψεν τὸν λόγον τῶν θρήνων (i. τῷ θρήνῳ) 310 ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἱππέων [ἵππων] σύρεσθαι τῶν πλοκάμων μετὰ ἀνάγκης· καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕπονται 313 πορθουμένας (ἐκ πάσης συμμιγοῦς ἡλικίας) 315 κλαυτὸν δ' ἀρτιτρόποις (supra: δ): εἰ μὲν διὰ τοῦ τ ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις· εἰ δὲ διὰ τοῦ δ ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμὴν, φησί, διακορευομέναις ἔσται κλαυθμὸς, ἤ, ταῖς δὲ διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν ἔσται δάκρυα 316 ὠμοδρόπων: ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων διαδέξασθαι τὴν στέρησιν τῶν οἰκημάτων 318 τί γὰρ δεῖ πολλὰ λέγειν;

βέλτερα τῶνδε πράccειν;
πολλὰ γάρ, εὖτε πτόλις δαμαcθῇ,
ἓ ἕ,
δυcτυχῆ τε πράccει·
ἄλλος δ' ἄλλον ἄγει φονεύ-
ει, τὰ δὲ πυρφορεῖ·
καπνῷ δὲ χραίνεται πόλιcμ' ἅπαν·
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐcέβειαν Ἄρης.

κορκορυγαὶ δ' ἀν' ἄcτυ· πρότι δ' ὁρκάνα πυργῶτις. cτρ. γ'
πρὸς ἀνδρὸς δ' ἀνὴρ ἀμφὶ δορὶ καίνεται.
βλαχαὶ δ' αἱματόεccαι
τῶν ἐπιμαcτιδίων
ἀρτιτρεφεῖς βρέμονται.
ἁρπαγαὶ δὲ, διαδρομᾶν δμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,

---

320 πόλισ δαμασθῆ 321 ἐ ἐ 324 τ'αδὲ pr. τὰ δὲ sec. πυρφορεῖ pr. πυρφορεῖ καίεται tert. ad mrg. 325 καπνῶ 328 ἀνὰ ἄστυ. ποτιπτόλιν ‖ δ' post ὀρκάνα aliquid rasurae 329 ἀνὴρ δορὶ κλίνεται pr. κλίνεται και rec. 330 βλαχαὶ 333 δια-δρομὰν 334 ξυμβολεῖ pr. ξυμβολεῖ αλλ rec. 336 ξύνομον

ὁ προτεθνηκὼς εὐτυχῶς πράccει πλέον τοῦ ζῶντος. οἱ τελευτήταντες, φηcί, καὶ μὴ τοιαύτης πειραθέντες cυμφορᾶς ἄμεινον ἡμῶν πράττουσιν 325 χαλεπώτερος γὰρ ὁ καπνὸς ἐν ταῖς πορθήcεcιν 226 λαοδάμας: κυρίως τὸ ἐπίθετον Ἄρεως εἴρηται 327 ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις φυλακή ὁρκάνη τὸ θηρατικὸν [θηρευτικὸν] δίκτυον, ὃ καὶ cαργάνη καλεῖται 329 παρὰ τὸ Ὁμηρικὸν ἀνὴρ δ' ἄνδρ' ἐδ-νοπάλιζεν 330 βλαχαὶ δ' αἱματόεccαι: ἐπὶ τῶν ἄcημα φθεγγομένων νέων τὴν βληχὴν ἔθηκεν· ὥcπερ, φηcί, τὰ νεογνὰ οὐδέπω τὴν φωνὴν ἔναρθρον ἔχοντα ἀπαγόμενα πρὸς τῶν πολεμίων αἱμάccεται, ὥcτε αὐτὰ ἄναρθρον φωνὴν καὶ ὥcπερ προβατώδη προΐεcθαι. τὸ δ' ἑξῆς, βλαχαὶ βρέμονται 333 cυγγενεῖς. Ἕλληνες γὰρ πάντες· οἷον μετὰ αἵματος γινόμεναι. ἢ τῶν ὁμαιμόνων καὶ cυγγενῶν καὶ ἐξ ἑνὸς γένους 336 κοινωνόν

οὔτε μεῖον, οὔτ' ἴϲον λελιμμένοι
τῶν ἐκ τῶνδ' εἰκάϲαι λόγοϲ πάρα.

παντοδαπὸϲ δὲ καρπὸϲ χαμάδιϲ πεϲὼν ἀλγύνει ἀντ. γ′
κυρήϲαϲ πικρόν γ' ὄμμα θαλαμηπόλων·
πολλὰ δ' ἀκριτόφυρτοϲ
γᾶϲ δόϲιϲ οὐτιδανοῖϲ
ἐν ῥοθίοιϲ φορεῖται·
δμωΐδεϲ δὲ καινοπήμονεϲ νέαι,
τλῆμον αἶϲιν αἰχμάλωτον
ἀνδρὸϲ εὐτυχοῦντοϲ, ὡϲ
δυϲμενοῦϲ ὑπερτέρου,
ἐλπίϲ ἐϲτι νύκτερον τέλοϲ μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

ΗΜΙΧΟΡΙΟΝ Α

ὅ τοι κατόπτηϲ, ὡϲ ἐμοὶ δοκεῖ, ϲτρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
ϲπουδῇ διώκων πομπίμουϲ χνόαϲ ποδῶν.

---

337 λεληµµένοι 338 τι· ἐκ sine ras., sed τίν' ἐκ in mrg. tert. 340 πικρὸν δ' ὄμμα 343 ῥοθίοισι 345 τλήμονεσ εὐνὰν αἰχμάλωτον 350 ΗΜΙ^{Χ} — praescriptum in mrg., item v. 353 351 πευθῶ

---

337 λαβεῖν βουλόμενοι οὔτε μεῖον οὔτ' ἴϲον λελιμμένοι: διὰ τούτου τοὺϲ πλεονέκταϲ ἐμφαίνει. ὁ γὰρ μήτε ἔλαϲϲον αἱρούμενοϲ μήτε τὸ ἴϲον φαίνεται πλείονοϲ ὀρεγόμενοϲ 338 τί ἐκ τῶνδ' εἰκάϲαι: τί δεῖ ὑπονοῆϲαι ἐκ τούτων ἢ πένθη καὶ ϲυμφοράϲ; 339 τὸν τυγχάνοντα 340 πικρὸν δ' ὄμμα θαλ^{α}: πικρὰ θέα τῶν παρθένων ἀποϲπωμένων ἐκ τῶν θαλάμων 341 ἀναμεμιγμένη 342 ὁ καρπόϲ (ἀνευφράντοιϲ. τὸ γὰρ γάνοϲ δάνοϲ οἱ Δωριεῖϲ) 343 ὡϲ ἐπὶ ναυαγίοιϲ ἐπειδὴ τὰ κύματα ἔϲθ' ὅτε ὠφέλειαν παρέχεται ταῖϲ πόλεϲιν· διὰ γὰρ αὐτῶν τὰ ἐπιτήδεια ἄγεται. τροπικῶϲ δὲ ῥόθια εἶπεν τὰ ϲυνεχῆ κύματα τῶν πολεμίων. προϲέθηκεν ἐπίτηδεϲ τὸ οὐτιδανοῖϲ, οἷον ἀχρείοιϲ (i. προϲέθηκεν — ἀχρείοιϲ· τροπικῶϲ — πολεμίων) ῥοθίοιϲιν: ταῖϲ ὑβριϲτικαῖϲ κινήϲεϲι τῶν πολεμίων. τούτουϲ γὰρ ῥόθιά φηϲιν, ἐπειδὴ πολεμοῦϲιν· τὰ γὰρ κύματα ἐπωφελῆ εἰϲιν· δι' αὐτὰ γὰρ ὁ πλοῦϲ τὰ πρὸϲ τὸ ζῆν κομίζων ταῖϲ πόλεϲιν 345 μεταϲτᾶϲαι εἰϲ δουλείαν οἴϲουϲι τὴν τῶν πολεμίων εὐνήν 347 ἐκ τοῦ πολέμου κρατήϲαντοϲ 348 (φόβοϲ τὴν νύκτα παραφραϲτικῶϲ (i. περιφρ.)) 352 μεταφορικῶϲ εἶπε τὰ ἄκρα τῶν ποδῶν. ἄλλωϲ. τὸ ϲυνεχὲϲ κίνημα τῶν ποδῶν παρα-

ΗΜΙΧΟΡΙΟΝ Β

καὶ μὴν ἄναξ ὅδ᾽ αὐτός, Οἰδίπου τόκος
εἰς᾽ ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦδ᾽ οὐκ ἀπαρτίζει πόδα.

ΑΓΓΕΛΟΣ

λέγοιμ᾽ ἂν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,
ὥς τ᾽ ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν
βρέμει, πόρον δ᾽ Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος,
μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων, βοᾷ·
θένει δ᾽ ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
τοιαῦτ᾽ ἀϋτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ᾽· ὑπ᾽ ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ᾽ ὑπέρφρον σῆμ᾽ ἐπ᾽ ἀσπίδος τόδε,
φλέγονθ᾽ ὑπ᾽ ἄστροις οὐρανὸν τετυγμένον·

---

355 σπουδῆ pr. σπουδὴ sec. 356 personae nota nulla 357 δστ᾽, sed o m. rec. corr. ex ω, item σ rec. in ras. 359 ἐᾶ 360 γίνεται 361 λιμένοσ pr. λε μ λιμένοσ sec. 362 βοᾶ 363 δϊκλείδην 364 ἀψυχίᾶι 365 circa ῖ in κατασκῖουσ rasurae 366 δ᾽ ἐσώ, sed Γ᾽ τῶ rec. in mrg. 368 ὑπέρφρον cum ras. inter ρ et ο, qua videtur ο ex ω factum

---

βόλωσ χνόας εἶπεν· τοῦ μέντοι ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι χνόη καλεῖται 353 καὶ μὴν ἄναξ: καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν ἀκούσαντα 354 ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον. (ὡς τὰ κατὰ μέρος ὁμοῦ ἀγγέλλοντος νῦν) 355 σπουδὴ δὲ καὶ τοῦδ᾽: ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ᾽ ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει, μεθ᾽ ὃ οὐκ ἄλλο πρακτέον 356 εἰδὼς εὖ λέγοιμί σοι ἂν 358 Τυδεὺς μὲν ἤδη: αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος Προιτίς ὀξυτόνως 361 ἐπιθυμῶν, παρὰ τὸ λίπτω 362 τότε γὰρ μάλιστα μέμηνεν 363 τὸν Ἀμφιάρεων 364 ἐκκλίνειν 365 νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία 366 οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα 368 ὑπερήφανον

λαμπρὰ δὲ πανcέληνος ἐν μέcῳ cάκει,
πρέcβιστον ἄcτρων, νυκτὸc ὀφθαλμόc, πρέπει.
τοιαῦτ᾽ ἀλύων ταῖc ὑπερκόμποιc cάγαιc
βοᾷ παρ᾽ ὄχθαις ποταμίαιc, μάχηc ἐρῶν,
ἵππος χαλινῶν δ᾽ ὡc καταcθμαίνων βρέμει,
ὅcτιc βοὴν cάλπιγγοc ὀργαίνει μένων.
τίν᾽ ἀντιτάξειc τῷδε; τίc Προίτου πυλῶν
κλῄθρων λυθέντων προcτατεῖν φερέγγυοc;

ΕΤΕΟΚΛΗC

κόcμον μὲν ἀνδρὸc οὔτιν᾽ ἂν τρέcαιμ᾽ ἐγώ,
οὐδ᾽ ἑλκοποιὰ γίγνεται τὰ cήματα,
λόφοι δὲ κώδων τ᾽ οὐ δάκνουc᾽ ἄνευ δορόc.
καὶ νύκτα ταύτην, ἣν λέγειc ἐπ᾽ ἀcπίδοc
ἄcτροιcι μαρμαίρουcαν οὐρανοῦ κυρεῖν,
τάχ᾽ ἂν γένοιτο μάντιc ἡ ἀνοία τινί.
εἰ γὰρ θανόντι νὺξ ἐπ᾽ ὀφθαλμοῖc πέcοι,
τῷ τοι φέροντι cῆμ᾽ ὑπέρκομπον τόδε

---

371 post ἄστρων ras. 372 in caγαῖσ (sic) c e corr. m. rec. addita 373 βοᾶ pr. βοᾶ^{ι} sec. 374 χαλινῶν pr. χαλινῶν$^{δ'}$ rec. βρέμει] μένει 375 ὁρμαίνει 377 κλήθρων pr. κλῄθρων rec. 378 ἐτεο^{κ} — praescriptum 379 γίνεται 385 τῶ pr. τῶι sec.

---

370 ἐν τῷ μέcῳ τοῦ cάκουc 371 καὶ Πίνδαροc ἄcτρον τὸν ἥλιόν φηcι 372 (χαίρων) 374 ἵππος χαλινῶν: οὕτωc ἀcθμαίνει καὶ cπεύδει ὡc καὶ ἵπποc πολεμιcτὴc cάλπιγγοc ἀκούων καὶ ἐπιθυμῶν πολέμου εἴργεται [ὅτε εἴργεται] πρὸc τοῦ ἐπιβάτου 376 τίν᾽ ἀντιτάξειc: τίνα οὖν ἀντιτάξειc τῷ Τυδεῖ; τίc ἄξιόc ἐcτιν προΐcταcθαι τῆc ἐγγύτητοc ταύτηc; 377 ἀξιόπιcτοc, ἐγγυητήc 379 οὐδ᾽ ἑλκοποιὰ γίνεται: ταῦτα παρὰ Ἀλκαίου. οὐ τιτρώcκει τὰ ἐπίcημα ὅπλα οὐδὲ αὐτὰ καθ᾽ ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν ᾖ ὁ γενναῖοc (i. ᾖ γενναῖοc) (ἤγουν οὐ τιτρώcκει) 381 καὶ νύκτα ταύτην ἣν λέγειc: ὁ νοῦc, ταύτην ἣν λέγειc εἶναι νύκτα ἐπὶ τῆc ἀcπίδοc, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήcει ὑπὸ νύκτα. ἐπιφέρει δὲ ὥcπερ ἐξηγούμενοc εἰ γὰρ θανόντι νὺξ ἐπ᾽ ὄμμαcιν πέcοι 383 (τάχ᾽ ἂν αὕτη ἡ νὺξ εἰπεῖν ὤφειλεν· ὁ δὲ εἶπεν ἡ ἄνοια)

ἡ ἀνοία: παροξυτόνωc Ἀττικῶc ἀντὶ τοῦ ἄνοια. διὰ δὲ τὸ μέτρον ἐξέτεινεν. ὁ δὲ νοῦc· τὰ ἐξ ἀνοίαc τινῶν γενόμενα τάχα τῶν κακῶν αὐτοῖc ἔcται cύμβολα

---

383 Ἀττικῶc· διὰ δὲ H

γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.
Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

ΧΟΡΟΣ

τὸν ἁμόν νυν ἀντίπαλον εὐτυχεῖν — στρ. α'
θεοὶ δοῖεν, ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὀλομένων ἰδέσθαι.

---

387 τὴν δ' pr. τήνδ' sec. μαντεύεται pr. μαντεύσεται sec. 388 — praescriptum 396 ὁμαίμων pr. ὁμαίμων[λ] tert. κάρτάνιν 397 τεκούση 398 inde ab hoc v. personarum notae Χ[ο], ἄγγε[λ] ἐτεο[κλ] (vel similiter) recte praescriptae ἁμὸν νῦν 400 πρόσμαχοσ pr., πρόμαχοσ e corr., ut videtur τρέμω pr. τρέμωι sec.

---

387 ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον 390 μάλ' εὐγενῆ τε καὶ τὸν αἰσχύνης: καλῶς ἀντέταξεν τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ' ἀλλότριον 391 ὑπέρφρονας: ἀντὶ τοῦ ὑπερηφάνους. οἷον, οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους 392 αἰσχρῶν γὰρ ἀργός: ἀργός ἐστι τῶν κακῶν λόγων, ἢ τῶν ἔργων. φιλεῖ δὲ τὸ μὴ εἶναι κακός, ἢ τῷ τρόπῳ, ἢ ὡς Ὅμηρος, ἀντὶ τοῦ δειλός (δειλός 304 τὸ γένος)

ἐγχώριος: γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων 395 ἔργον δ' ἐν κύβοις: ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος 396 δίκη δ' ὁμαίμων: τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν εἰς τὴν μάχην 399 ὅτι δικαίως προμάχεται τῆς πόλεως 401 οὓς ποιοῦνται ὑπὲρ τῶν φίλων πολιτῶν οἱ Θηβαῖοι. ἡ ὑπὲρ δὲ περισσή

ΑΓΓΕΛΟΣ

τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί.
Καπανεὺς δ᾽ ἐπ᾽ Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ᾽ ἄλλος, τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ᾽ οὐ κατ᾽ ἄνθρωπον φρονεῖ·
πύργοις δ᾽ ἀπειλεῖ δείν᾽, ἃ μὴ κραίνοι Τύχη.
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὴν Διὸς
Ἔριν πέδῳ σκήψασαν ἐμποδὼν σχεθεῖν.
τὰς δ᾽ ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσῄκασεν·
ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη,
χρυσοῖς δὲ φωνεῖ γράμμασιν Πρήσω πόλιν.
τοιῷδε φωτὶ πέμπε, τίς ξυστήσεται;
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;

---

403 circa ι in τούτωι aliquid erasum θεοὶ δοῖεν pr. θεοῖ δοῖεν (B′ A′ superscr.) sec. 404 πύλασ (ι superscr.) 405 post γίγασ ras. 406 κατᾶνον 407 δειν᾽ κραίνοι pr. κραίνοι (ά superscr.) rec. 410 ἔριν ἐμποδῶν σχέθειν 412 μεσημβρινοῖσιν προσήκασεν pr. προσῄκασεν rec. 413 post γυμνὸν rasura duarum triumve litterarum in πυρφόρον ante utramque ρ ras. 415 ει (non εῖ) in φωνεῖ rec. in ras. 416 τοιῶδε in πέμπε ultima rec. in ras. 417 κομπάσαντα pr. κομπάσαντα (ζον superscr.) rec.

---

403 τῷ Μελανίππῳ 405 γίγας ὅδ᾽ ἄλλος: πάνυ ῥητορικὸς Αἰσχύλος· ῥητορικὸν δὲ λέγω, ὅταν τοῖς ῥήτορσι λόγος ἤτοι ἐπαινετικὸς ἢ ψεκτικὸς παρά (i. περί) τινων δύο τοῦ μέν ᾱ εἴπῃ ἔπαινον ἢ ψόγον, παραλείπηται τοῦ ἐπαίνου (i. παραλείπῃ δὲ τοῦ ἑτέρου? an τοῦ β̄?). πανηγυρικὸν δὲ καὶ δριμὺ περὶ τοῦ Τυδέως λέγων, οὐκ εἰπὼν ὅτι πᾶς ἐστι γίγασιν ὅμοιος, Καπανέα δὲ ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ φησι γίγας ὅδ᾽ ἄλλος. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστὶν ἢ γίγασιν ὅμοιος τοῦ Τυδέως 406 Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής 409 οὐδὲ τὴν Διός: οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ Διὸς φιλονεικήσαντος, ἐμποδὼν γενέσθαι αὐτῷ λέγει 413 ἔχει δὲ σῆμα: ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα διὰ χειρῶν. ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ᾽ ὅπλου οὖσα ἡ λαμπάς

ΕΤΕΟΚΛΗϹ

καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσς' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ, δρᾶν παρεσκευασμένος
ἃ θεοὺς ἀτίζων κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ, θνητὸς ὤν, ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας
'Αρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

ΧΟΡΟϹ

ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται, ἀντ. α'
κεραυνοῦ δέ νιν βέλος κασχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἑδωλίων μ' ὑπερκόπῳ
δορί ποτ' ἐκλαπάξαι.

---

419 ἀνδρᾶσι pr. ἀνδράσι sec. 420 γλῶτ' pr. γλῶτ' (τ superscr.) sec. γίνεται 421 παρᾰσκευασμένοσ (ε superscr.) || θεοὺσ ant. κ'απογυμνάζω^ν 423 χαρὰ ματαία pr. ματαία^ι sec. 424 γεγωνᾶ pr. γεγωνᾶι sec. ante ἔπη ras. 425 ξυνδίκη πυρφόρων 426 ἐξηκασμένον pr. 'εξῃκασμένον rec. 427 μεσημβρινοῖσιν 428 αὐτῶ 430 φερέγγιον 431 εὐνοίαισι* cum ras. 432 πύλαισι ληχότα pr. πύλαισ εἰληχότα sec. 434 μιν 'επισχέθοι 435 τ' 'εδωλίων 436 ὑπερκόμπω

---

418 καὶ τῷδε κέρδει: κέρδος πρὸς (i. κέρδει κέρδος: πρὸς) τῷ μεῖναι τὸ νικῆσαι. τοῦτο γάρ ἐστι κέρδει κέρδος 428 ἀνὴρ δ' ἐπ' αὐτῷ: ἀντὶ τοῦ ἀντιτέτακται. καὶ εἰ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ' ὅμως ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου ἀνθέστηκεν μηδὲν δεδοικυῖα 430 φερέγγυον φρούρημα: ἱκανὸς φρουρεῖν τὴν πατρίδα 431 'Αρτέμιδος εὐνοίαισι: ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς 'Αρτέμιδος. ἀφιέρωται δὲ τῇ 'Αρτέμιδι ἡ τῶν Θηβαίων [Θηβαίων πόλις]· διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις τῆς 'Αρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν 437 (ἐκβαλεῖν)

ΑΓΓΕΛΟΣ

καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου ᾽πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηΐσταισι προσβαλεῖν λόχον.
ἵππους δ᾽ ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ᾽ ἀσπὶς οὐ σμικρὸν τρόπον·
ἀνὴρ δ᾽ ὁπλίτης κλίμακος προσαμβάσεις
στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὗτος γραμμάτων ἐν ξυλλαβαῖς,
ὡς οὐδ᾽ ἂν Ἄρης σφ᾽ ἐκβάλοι πυργωμάτων.
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.

ΕΤΕΟΚΛΗΣ

πέμποιμ᾽ ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ
καὶ δὴ πέπεμπται, κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεύς, Κρέοντος σπέρμα, τοῦ σπαρτῶν γένους,
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,

---

439 ̀τρίτω 440 πήδησεν 441 νηΐτηισι pr., νηΐστηισι corr. rec. ut videtur ἀμσπυκτῆρσιν 443 circa ι in δινεῖ ras. 446 εἰσημάτισται pr. ᾽εσχημάτισται rec. μικρὸν 447 δ᾽ pr. ᵋδ᾽ (?) rec. 450 τῶδε 451 πέμπετον γυ in φερέγγυον in ras. 453 ι in δέτωι fort. sec. 454 πέπεμπτ᾽ οὐ κόμπον 455 σπαρτοῦ pr. σπαρτοῦ (ων superscr.) rec. 456 μάργῶν prope evanido accentu utroque

---

438 καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα: τὸν ἀπὸ τούτου κληρωθέντα. τρίτῳ γὰρ τῷ Ἐτεόκλῳ εἰρηκέναι [ἐξῆλθεν] ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν 441 οὕτω καλουμέναις 442 τοῖς χαλινοῖς. ἐν ἀμπυκτῆρσιν: οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. νῦν δὲ λέγει τοῖς χαλινοῖς, ἵν᾽ ᾖ, τοὺς ἵππους θυμοῦ πλήρης [πλήρεις] περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις 444 ἀπηνῆ ἦχον· ἢ ἐπεὶ [ὡσεὶ] ἡ σῦριγξ βοᾷ 446 (ἔχει σχῆμα γάρ) 448 στείχει πρὸς ἐχθρῶν πύργον: οὐκ εἶπεν πρὸς ποῖον πύργον. μεγάλως οὖν φησι πρὸς πάντα πύργον

ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.

ΧΟΡΟΣ

ἐπεύχομαι τῷδε μὲν εὖ τελέσαι. στρ. β'
ἰὼ πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓΓΕΛΟΣ

τέταρτος ἄλλος, γείτονας πύλας ἔχων
Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος.
ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.

---

459 δ' ἄνδρε 461 ἄλλω μὴδέ prope evanido priore accentu 462 'επεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν 464 βάζουσ'

---

459 καὶ πόλισμ' ἐπ' ἀσπίδος: τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι, καὶ τὸ ἐπ' ἀσπι^δ πόλισμα γραφέν 461 κόμπαζ' ἐπ' ἄλλῳ: λέγε ἄλλον κομπώδη, μηδὲ [καὶ μηδὲν] ἀποκρύψῃ με τῶν ἀλαζονιῶν [ἀλαζονειῶν] 466 ὁ πᾶν διανέμων 467 γείτονας πύλας ἔχων: ὧν εἶπον. γείτονας οὖν πύλας ἐγγὺς (i. ἐγγὺς ἔχων) ταύτας ἵσταται ἅμα βοῇ τὰς τῆς Ἀθηνᾶς τῆς Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι Ὀγκαῖαι. ἡ δὲ ἱστορία αὕτη. Ἀγήνωρ ὁ Τύριος παῖδας ἔσχε τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δ' Εὐρώπης ὑπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς ἦλθεν ἐρωτήσων ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησεν, ἔθυσε δὲ τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν, ἀπὸ δὲ Κίλικος Κιλικία 469 περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα 470 ἅλω δὲ πολλήν: ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον ἐκκαυθέντα [ἐκταθέντα] λευκὰ φαίνηται καὶ ἐν κύκλῳ τοῦ ἡλίου γένηται. νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν κίνησιν τὴν συνεχῆ τῆς ἀσπίδος. ἔφριξα οὖν, φησί, κινήσαντος καὶ οὐ ψευδῆ λέγω. ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν, ὡς ἔοικεν, εὐτελής

ὁ cηματουργὸc δ' οὔ τιc εὐτελὴc ἄρ' ἦν,
ὅcτιc τόδ' ἔργον ὤπαcεν πρὸc ἀcπίδι,
Τυφῶν', ἱέντα πυρπνόον διὰ cτόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸc κάcιν·
ὄφεων δὲ πλεκτάναιcι περίδρομον κύτοc
προcηδάφιcται κοιλογάcτοροc κύκλου.
αὐτὸc δ' ἐπηλάλαξεν, ἔνθεοc δ' Ἄρει
βακχᾷ πρὸc ἀλκήν, Θυιὰc ὣc φόβον βλέπων.
τοιοῦδε φωτὸc πεῖραν εὖ φυλακτέον·
φόβοc γὰρ ἤδη πρὸc πύλαιc κομπάζεται.

ΕΤΕΟΚΛΗC

πρῶτον μὲν Ὄγκα Παλλάc, ἥτ' ἀγχίπτολιc
πύλαιcι γείτων, ἀνδρὸc ἐχθαίρουc' ὕβριν
εἴρξει, νεοccῶν ὡc δράκοντα δύcχιμον·
Ὑπέρβιοc δὲ, κεδνὸc Οἴνοποc τόκοc,
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων
ἐξιcτορῆcαι μοῖραν, ἐν χρείᾳ τύχηc·
οὔτ' εἶδοc, οὔτε θυμόν, οὔθ' ὅπλων cχέcιν
μωμητόc· Ἑρμῆc δ' εὐλόγωc ξυνήγαγεν.
ἐχθρὸc γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυcτήcεται.

---

472 ἆρ' pr. ἄρ' sec. 474 διαστόμα pr. διὰστόμα tert. 478 ἆρηι vel ἆρηι pr. ἄρηι sec. 479 βάκχᾱ 482 ἥτ 484 δύσχιμον pr. δύσχιμον (ε supra) tert. 486 ἡρέθη pr. ἡρέθη (ι supra) sec., simul spiritu aut deleto aut in lenem mutato 488 οὐδ' ὅπλων 489 συνήγαγεν 490 ἀνὴρ τῶι (ἀνδρὶ supra) pr., ubi τῶι del. tert. ξυντήσεται pr. ξυνστήσεται sec.

---

472 (ὁ τὸ cῆμα ἐγγράψαc τῇ ἀcπίδι) 474 Τυφῶν' ἱέντα: ὤπαcε δὲ ἐπὶ τῆc ἀcπίδοc τὸν Τυφῶνα ἀφιέντα διὰ τοῦ cτόματοc καπνὸν μέλανα τὸν ἀδελφὸν τοῦ πυρόc. αἰόλην δὲ τὴν ἀκίνητον (i. εὐκίνητον) καὶ ταχεῖαν. κάcιν δὲ εἶπεν, ἐπεὶ cύνεcτι τῷ πυρὶ ὁ καπνόc 475 τῶν παραδόξων ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαν 476 (ὅλη γὰρ ἡ ἀcπὶc περιφερὴc καὶ κοίλη προcυπεμφαίνεται ἡ ἀcπὶc κύκλωθεν [κυκλόθεν] ἔχει ἐζωγραφημένουc ὄφειc περιπεπλεγμένουc) περίδρομον κύτοc: τὸ χώρημα τῆc ἀcπίδοc. ἡ δὲ περιφέρεια τῆc ἀcπίδοc κύκλῳ ὀφίων [ὄφεων] εἰc ἑαυτοὺc ἄντικρυc ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένου [ἐγγεγραμμένα] πρὸc τὰ τέλη. ἡ ἀcπὶc ἡ κοίλη πρὸc τῇ γαcτρὶ τοῦ κατέχοντοc αὐτὴν οὖcα (τὸ cτρογγύλον τοῦ κύκλου) τοὺc γηγενεῖc δρακοντόποδαc ἔγραφον 478 ἐμμανήc 485 Ὑπέρβιοc ὄνομα κύριον 487 (θέλειν γνῶναι τὰ τῆc οἰκείαc τύχηc) 489 τὰ ἀπὸ τῆc τύχηc Ἑρμῇ ἀναφέρουcιν

ξυνοίcετον δὲ πολεμίους ἐπ' ἀcπίδων
θεούς· ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει,
'Υπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀcπίδος
cταδαῖος ἧcται, διὰ χερὸς βέλος φλέγων.
[κοὔπω τις εἶδε Ζῆνά που νικώμενον.]
τοιάδε μέν τις προcφίλεια δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐcμέν, οἳ δ' ἡccωμένων.
[εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ·
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιcτάτας·
'Υπερβίῳ τε πρὸς λόγον τοῦ cήματος
cωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀcπίδος τυχών.]

ΧΟΡΟΣ

πέποιθα δὴ τὸν Διὸς ἀντίτυπον ἀντ. β'
ἔχοντ' ἄφιλον ἐν cάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκαcμα βροτοῖς τε καὶ
δαροβίοιcι θεοῖcιν,
πρόcθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓΓΕΛΟΣ

οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπταιcι προcταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν Διογενοῦς 'Αμφίονος·
ὄμνυcι δ' αἰχμήν, ἣν ἔχει μᾶλλον θεοῦ
cέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄcτυ Καδμείων βίᾳ
δορός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεcκόου

---

495 τίσ εἶδεν 496 μέντοι 498. 500. 499. 501 hoc ordine (h. e. Εἰ Ζεύς — 'Υπερβίῳ — Εἰκὸς — Cωτὴρ), sed in marg. m. tert. adscriptis β γ α δ litteris (h. e. 499. 498. 500. 501: Εἰκὸς — Εἰ Ζεύς — 'Υπερβίῳ — Cωτὴρ) 499 εἴκόσγε πρᾶξιν pr. εἰκόσγε (δὲ) πρᾶξιν (, ειν) tert. 500 ὑπερβίω 502 πέποιθα τὸν 503 ἔχοντα 504 δαίμοσιν βροτοῖσί τὲ, sed acutus fort. m. sec. 505 θεοῖσι 506 κεφαλᾶν 507 post ο in πέμπτον ras. 508 βορρέαισ 512 post λαπάξειν ras. 513 διόσ ματρὸσ

---

491 τοὺς θεοὺς ἐν [οὓς ἐν] ταῖς ἀcπίcι φοροῦcιν 494 ἐνιδρυμένος 496 οἰκείωcις 497 τοῦ κρατοῦντος ἐcμὲν Διός, οὗ καὶ τὸ cημεῖον 502 (ἐναντίον) πιcτεύω ἀπολεῖcθαι τὸν ἔχοντα ἐν τῷ cάκει τὸν ἐχθρὸν τοῦ Διὸς δαίμονα

βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὃ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' ὠμόσιτον προσμεμηχανημένην
γόμφοις, ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας·
φέρει δ' ὑφ' αὑτῇ φῶτα Καδμείων ἕνα,
ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖ πόρον,
Παρθενοπαῖος Ἀρκάς. ὁ δὲ τοιόσδ' ἀνήρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.

ΕΤΕΟΚΛΗΣ

εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν,
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν,
ἦ τἂν πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου·

---

521 κύκλω τῶι pr. κύκλωιτῶι sec. 525 τῶδ' 527 καταισχύνειν pr. καταισχυνεῖν sec. 532 'εκείνοισ̣ ἀνοσίαισ (οισ superscr.) pr. ut videtur 533 ἦτ' ἂν

---

514 καλλιπρόσωπον ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν παιδικῇ ἡλικίᾳ ἀνδρεῖος. καλλίπρωρος δὲ ἀντὶ τοῦ εὐειδής, ἐπεὶ ἡ πρῶρα ὡς ὄψις ἐστὶ νεώς 516 τῆς παιδικῆς ταρφύσεως πεπυκνωμένη 517 οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν 520 ἐπειδὴ Οἰδίπους ἐμίγη τῇ μητρὶ λύσας τὸ αἴνιγμα τῆς Σφιγγός 528 Ἀντίμαχός φησιν Ἀργεῖον αὐτόν, οὐκ Ἀρκάδα τοιοῦτός ἐστιν οἷον ἐγὼ εἶπον 529 ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν 531 εἴθε γὰρ παρὰ θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονεύονται, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες 535 ἄλλο οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. περιφραστικῶς, πολεμικώτατός [ἀντὶ τοῦ πολ.] ἐστι

δc οὐκ ἐάcει γλῶccαν ἐργμάτων ἄτερ
ἔcω πυλῶν ῥέουcαν ἀλδαίνειν κακά,
οὐδ' εἰcαμεῖψαι θηρός, ἐχθίcτου δάκους,
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀcπίδοc·
ἔξωθε δ' εἴcω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτηcμοῦ τυγχάνουc' ὑπὸ πτόλιν,
θεῶν θελόντων· 'ἂν ἀληθεύcαιμ' ἐγώ.

ΧΟΡΟC

ἱκνεῖται λόγοc διὰ cτηθέων, cτρ. γ'
τριχὸc δ' ὀρθίαc πλόκαμοc ἵcταται,
μεγάλα μεγαληγόρων κλυούcᾳ
ἀνοcίων ἀνδρῶν. εἴθε γὰρ
θεοὶ τούcδ' ὀλέcειαν ἐν γᾷ.

ΑΓΓΕΛΟC

ἕκτον λέγοιμ' ἂν ἄνδρα cωφρονέcτατον
ἀλκήν τ' ἄριcτον, μάντιν, Ἀμφιάρεω βίαν·
Ὁμολωΐcιν δὲ πρὸc πύλαιc τεταγμένοc
κακοῖcι βάζει πολλὰ Τυδέωc βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεωc ταράκτορα,
[μέγιcτον Ἄργει τῶν κακῶν διδάcκαλον,]
Ἐρινύοc κλητῆρα, πρόcπολον φόνου,
κακῶν τ' Ἀδράcτῳ τῶνδε βουλευτήριον·

---

539 εἰσάμεῖψαι δ' ἄκουσ 541 ἔξωθεν, εἴσω· 542 κροτησμοῦ pr. κρ[illegible]τισμοῦ sec. 543 θελόντων· δ' ἂν 546 κλύων ἀνόσίων 547 ἀνδρῶν. εἶ θεοὶ || θεοὶ τοὺσδ' 550 post ἀμφιάρεω unius litterae evanidae rasura 551 προσπύλαισ 552 post βάζει ras. 554 post ἄργει ras. 556 ἀδράστω

---

537 δc τούτου τὸν κόμπον ἐφέξει τῶν πράξεων ἀποδέοντα μὴ ἔcω πυλῶν γενέcθαι τὸν φέροντα τὴν Cφίγγα 542 ἡ ἀcπίc, ἢ ἡ Cφίγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κρουcμῷ 544 ὁ λόγοc ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικόc 545 κατὰ περίφραcιν ἡ θρίξ 546 μεγάλα πράγματα ἀκούων 548 τοὺc πολεμίουc 550 Ἀμφιάραοc Οἰκλέουc τοῦ Μελάμποδοc τοῦ Ἀμυθάονοc τοῦ Κρηθέωc τοῦ Αἰόλου τοῦ Ἕλληνοc τοῦ Διόc, μητρὸc δὲ Ὑπερμνήcτραc 551 ἀπὸ Ὁμολωΐδοc τῆc θυγατρὸc Νιόβηc 553 ἐπεὶ τοὺc Μέλανοc ἀπέκτεινε παῖδαc Ἀλκάθουν καὶ Λυκαυγέα (i. Λυκωπέα) 555 ἐπειδὴ ἐπηράcατο Οἰδίπουc μεθ' αἵματοc διανείμαcθαι αὐτοὺc τὴν βαcιλείαν. ταύτην οὖν τὴν Ἐρινὺν ἐπιcτένει
ὑπηρέτην ἱερέα

καὶ τὸν còν αὖθιc ἐc πατρὸc μοῖραν κάcιν,
ἐξυπτιάζων ὄμμα, Πολυνείκουc βίαν,
δυcεκτέλευτον τοὔνομ' ἐνδατούμενοc,
καλεῖ. λέγει δὲ τοῦτ' ἔποc διὰ cτόμα·
ἦ τοῖον ἔργον καὶ θεοῖcι προcφιλέc,
καλόν τ' ἀκοῦcαι καὶ λέγειν μεθυcτέροιc,
πόλιν πατρῴαν καὶ θεοὺc τοὺc ἐγγενεῖc
πορθεῖν, cτράτευμ' ἐπακτὸν ἐμβεβληκότα.
μητρόc τε πηγὴν τίc καταcβέcει δίκη;
πατρίc τε γαῖα, cῆc ὑπὸ cπουδῆc δορὶ
ἁλοῦcα, πῶc coι ξύμμαχοc γενήcεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντιc κεκευθὼc πολεμίαc ὑπὸ χθονόc.
μαχώμεθ'· οὐκ ἄτιμον ἐλπίζω μόρον.
τοιαῦθ' ὁ μάντιc ἀcπίδ' εὔκυκλον νέμων
πάγχαλκον ηὔδα· cῆμα δ' οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριcτοc, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸc καρπούμενοc,
ἐξ ἧc τὰ κεδνὰ βλαcτάνει βουλεύματα.
τούτῳ cοφούc τε κἀγαθοὺc ἀντηρέταc
πέμπειν ἐπαινῶ· δεινὸc ὃc θεοὺc cέβει.

---

557 αὖθισ πρόσμόραν ἀδελφεὸν pr., ubi προσμόραν rec. 558 ὄνομα 559 δίς' ἐν τελευτῆι, ultima ι littera paene evanida 562 post καλόντ' ras. μεθ' ὑστέροισ, sed spiritus fort. a m. sec. 563 πατρῶιαν 564 ἔπακτὸν cum ras. supra α 565 ante τίσ ras. δίκηι pr. δίκη rec. 566 πατρὶσ δὲ γαία ὕπο 'επιχθονὸσ pr. ἐπὶχθονόσ rec. 568 ἐγώγε τῆνδε 571 εὔκηλον ἔχων, sed γρ εὔκυκλον νέμων sec. in mrg. 572 ἠῦδα pr. ἠύδα sec.

---

557 τὸν ἀξιοθάνατον· ἢ τὸν cυμπράκτορα αὐτοῦ 558 ἀναπτύccων, ἐτυμολογῶν (i. ἐτυμ.) 559 εἰc δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκουc, τὸ πολὺ καὶ τὸ νεῖκοc 561 καθ' ὑπόκριcιν 562 τοῖc μεθ' ἡμᾶc ὕcτερον λέγειν ταῦτα καλόν ἐcτιν ὥcτε περὶ coῦ λέγεcθαι 565 τὰ δάκρυα τῆc πατρίδοc ποία παύcει τιμωρία; 568 κεραυνῷ γὰρ cχιcθεῖcα ἔλαβεν αὐτὸν 570 οὐκ ἀγεννῆ. οὗτοc γὰρ ἐκεῖ καταποθεὶc ὑπὸ τῆc γῆc ὕcτερον μετὰ θάνατον ἐμάντευεν 574 βαθεῖαν ἔχων τὴν ἄλοκα τῆc φρενόc, ἐξ ἧc ἀνδρὸc φύεται λόγοc. τοῦτο ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ ἀπεδέξατο 576 τροπικῶc ὡc ἐπὶ ναυμαχίαc 577 δυcκατέργαcτοc γάρ ἐcτιν ὅcτιc τοὺc θεοὺc τιμᾷ

ΕΤΕΟΚΛΗΣ

φεῦ τοῦ ξυναλλάccοντος ὄρνιθος βροτοῖc
δίκαιον ἄνδρα τοῖcι δυccεβεςτάτοις.
ἐν παντὶ πράγει δ' ἔcθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος.
[ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται·]
ἢ γὰρ ξυνειcβὰς πλοῖον εὐcεβὴς ἀνὴρ
ναύταιcι θερμοῖc καὶ πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν cὺν θεοπτύcτῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράcιν, δίκαιος ὤν,
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοcιν,
ταὐτοῦ κυρήcας ἐνδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάcτιγι παγκοίνῳ 'δάμη.
οὗτος δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
cώφρων, δίκαιος, ἀγαθός, εὐcεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοcίοιcι cυμμιγεὶς
θραcυcτόμοιcιν ἀνδράcιν φρενῶν βίᾳ,
τείνουcι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος ξυγκαθελκυcθήcεται.
δοκῶ μὲν οὖν cφε μηδὲ προcβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν, ὥς cφε χρὴ τελευτῆcαι μάχῃ,
εἰ καρπὸς ἔcται θεcφάτοιcι Λοξίου.
φιλεῖ δὲ cιγᾶν ἢ λέγειν τὰ καίρια.

---

578 ξυναλάσοντοσ (σ supra) ant. βροτοὺσ pr. βροτοῖσ sec. 579 δυσεβεστέροισ (σ supra) ant. 580 π∗άγει 584 ναύτηισι πανουργία 585 θεοπτύστω pr. θεοπτύστω[1] sec. 588 ταυτοῦ 'εκδίκωσ, sed obscuriore ω littera 589 παγκοίνω δάμη 590 οὕτωσ pr. οὗτοσ rec. ὀϊκλέουσ 593 ἀνδράσι βία φρενῶν pr., ubi βία[1] sec. 595 συγκαθελκυσθήσεται 596 μὴδὲ 598 ὥσφε

---

578 cυνάγοντος· ἀπὸ μεταφορᾶς τῶν τὰς cυναλλαγὰς καὶ τὰ cυμβόλαια ποιουμένων (τῆς τύχης ἢ τῆς μαντείας) 581 οὐκ ἄξιος κομίζεcθαι ὁ καρπὸς αὐτῆς 582 λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία 588 οἷον cὺν αὐτοῖς θηραθεὶς 593 τοῖς ὁρμῶcι τῇ βίᾳ 594 ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυcθήcεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος 596 αὐτόν 598 ἀλλ' ὡς μάντις, τὸ τέλος εἰδώς, οὐκ εἰς κίνδυνον ἑαυτὸν καθήcει 599 εἰ φύει ἀλήθειαν τὸ μάντευμα, παρέπεται καρπός, εἰ ταῖς τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι 600 παραδιαζευκτικὸς ἀντὶ τοῦ καί, καὶ λέγειν τὰ καίρια

ὅμως δ' ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν,
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύει,
ποδῶκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

ΧΟΡΟΣ

κλύοντες θεοὶ δικαίους λιτὰς — ἀντ. γ'
ἡμετέρας τελεῖθ', ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ' ἐκτρέποντες ἐς γᾶς
ἐπιμόλους· πύργων δ' ἔκτοθεν
βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ.

ΑΓΓΕΛΟΣ

τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σοῦ κασίγνητον, πόλει
οἵας ἀρᾶται καὶ κατεύχεται τύχας,
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονί,
ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας,
σοὶ ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ' ἀτιμαστῆρα τώς σ' ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ' ἀϋτεῖ καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν

---

603 φύσει pr. φύσει (φέρει) tert. 606 δῶρον ἔστιν 607 δικαίασ λιτὰσ ἡμετέρασ pr. δικαίασ λιτὰσ ἡμετέρασ (ουσ λόγουσ ἡμετέρουσ) rec. 608 εὐτυχῆ 609 δορι-πόνα 'εκτρέποντεσ γᾶσ 610 ἐπιμόλουσ pr. ἐπιμόλουσ (εἰς) rec. πύργω[N] ant. 613 post πόλει ras. 614 ὅίας, sed ας tert. in ras. γ'αρᾶται 618 τῶσἀνδρηλάτην, ubi τώσ sec. 619 post φυγῆι ras.

---

601 περιφραστικῶς τὸν Λασθένη τὸν ἰσχυρόν 608 ἐπιτελεῖτε ὅπως εὐτυχῇ, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες 610 ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν διαφθερεῖ ἐν κεραυνῷ ἐπὶ ταῖς πύλαις 616 ἐκβοήσας ἐπινίκιον παιᾶνα ἐπαλαλάξας μετὰ ἰαχῆς. οὕτω καὶ ὁ Ἴακχος λέγεται παρὰ [παρὰ τὰς] ἰαχὰς τῶν μυουμένων 617 συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανὼν ἐγγύς 621 τούτων οὖν αὐτῶν βοηθοὺς γενέσθαι τοὺς θεοὺς ἐπεύχεται παντελῶς τῇ βίᾳ αὐτοῦ ὁ Πολυνείκης

τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος
διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη·
Δίκη γὰρ εἶναί φησιν, ὡς τὰ γράμματα
λέγει, Κατάξω δ' ἄνδρα τόνδε, καὶ πόλιν
ἕξει, πατρῴων δωμάτων τ' ἐπιστροφάς.
τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ' αὐτὸς ἤδη γνῶθι, τίνα πέμπειν δοκεῖς·
ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψει· σὺ δ' αὐτὸς γνῶθι, ναυκλήρει πόλιν.

ΕΤΕΟΚΛΗΣ

ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·
ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
ἀλλ' οὔτε κλαίειν οὔτ' ὀδύρεσθαι πρέπει,
μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος.
ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκει λέγω,
τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπῃ τελεῖ·
εἴ νιν κατάξει χρυσότευκτα γράμματα

---

622 βίαι· 623 εὔκυκλον, sed in mrg. (ut supra v. 571) a m. scholiastae γρ ἔνθετ', quas voces statim scholia excipiunt 627 δίκη δ' ἄρ' 628 λέξει, ξ ant., sed ε e corr. sec. in ras. 629 πατρώων τ' add. sec., ut videtur 631 δοκεῖ acuto deleto, ut a pr. fuisse δόκει videatur 633 μέμψηι γνῶθι ναυκληρεῖν 634 ante καὶ ras. ἁμὸν 638 τεκνωθῇ 639 ἐπωνύμω ει in κει in litura, ut vid. 640 τοὐπίσημ', sed υ in ras. et fort. m. sec.; plus non apparet ὅποι

---

623 γρ. εὔθετον, ἵν' ᾖ εὐβάστακτον. θεῖναι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν Ἀττικοί. καὶ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἀνέλαβον 625 ὁπλίτην 632 ἀντὶ τοῦ ἐμοὶ ὧν ἀπήγγειλα 633 περιέπειν, πεφροντικέναι 634 ὦ θεοῖς ἐπιμαινόμενε. ἐπιστρατεύῃ καὶ πατρίδι καὶ πατρῴοις θεοῖς 638 αὐξηθῇ 639 πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ [φιλ. συμφωνεῖ] 641 οὐκ εἶπεν θεὸς ἢ ἄνθρωπος, ἀλλὰ τὰ χρυσᾶ γράμματα

---

623 ἔθεντο, ἀνέλαβον H

ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,
οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,
οὔτ' ἐν γενείου ξυλλογῇ τριχώματος,
Δίκη προσεῖπε καὶ κατηξιώσατο·
οὐδ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ
οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας,
ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι
αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις,
ἐχθρὸς ξὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος
κνημῖδας, αἰχμήν, καὶ πτερῶν προβλήματα.

ΧΟΡΟΣ

μή, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον·

---

642 συμφοίτω, sed supra scripto μτ̄ (μανίᾳ teste Mommseno) rec. 645 οὔτέ νιν cum correcturae in ε m. tert. post ras. factae vestigio, proxima autem littera eadem m. ita correcta ut, μ an ν voluerit, non liqueat 646 ἐφημήσαντα pr. ἐφηβήσαντα rec. 647 ξυλλογῆ (.σ. supra ξ) ant. 649 οὔτ' πατρώασ μὴν ant. κακουχίᾱι 650 post νιν' ras. 651 ἢ pr. ἢ (ἦ supra) sec. 653 εἶμὶ 655 κασιγνήτωι, 656 σὺν 657 αἰχμῆσ καὶ πετρῶν 658 γένη 661 χέρασ

---

642 φλυαροῦντα 645 ἀντὶ τοῦ γεννηθέντα 647 οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ' ὀλίγον 648 εἶδεν αὐτὸν καὶ ἐφίλησεν. ἀντὶ τοῦ, οὐδὲ ἐν μιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον 649 καὶ μὲν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας ἐγγὺς αὐτοῦ ἔσται ἡ Δίκη 659 τὸν τρόπον τῷ ἀδελφῷ σου βλασφημούμενος [βλασφημουμένῳ] ὑπὸ σοῦ 661 πολέμους ἀνελεῖν καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμοις, τὸ δ' ἀδελφοκτονεῖν ἄντικρυς φονέων ἔργων (ο supra ω). ὑπερβατὸν δέ

---

648 ἀντὶ οὐδὲ H 659 τρόπον τῷ ἀδελφῷ H

ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.

ΕΤΕΟΚΛΗΣ

εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν·
κακῶν δὲ κᾀσχρῶν οὔ τιν' εὐκλείαν ἐρεῖς.

ΧΟΡΟΣ

τί μέμονας τέκνον; μήτι σε θυμοπλη- στρ. α'
θὴς δορίμαργος ἄτα φερέτω, κακοῦ δ'
ἔκβαλ' ἔρωτος ἀρχάν.

ΕΤΕΟΚΛΗΣ

ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχόν,
Φοίβῳ στυγηθέν, πᾶν τὸ Λαΐου γένος.

ΧΟΡΟΣ

ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ- ἀντ. α'

---

662 αὐτόκτονοσ pr. αὐτοκτόνοσ sec. 665 ἓν sic sine corr. (Ribb.) (ἓν ex ἐν rec. teste Momms.) 666 κ' αἴσχρῶν (sic) εὔκλειαν 667 μέμονασ pr. μέμ(η)ονασ sec. μήτισσε 668 δορὶ μάργοσ pr. δορὶ ʹμαργοσ μάργοσ sec. (pr. Ribb.) ἄτᾱ pr. ἄτᾱ (η) sec. 669 ἔκβαλ' pr. ἔκβαλλ' (ἐπ') sec. 673 ἐξοτρύνει pr. ἐξοτρύνει rec.

ἐστιν, ἵν' ᾖ, αἷμα γὰρ τοῦτο κάθαρσιν οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ αὐτόκτονες [ἀλληλοκτόνοι] γένωνται, καὶ οὕτως αὐτῶν ὁ θάνατος γένηται 663 διαπαντὸς αἰσθήσεται [γνωσθήσεται] τὸ μίασμα τοῦτο ἔλλειψις 664 εἴπερ κακὸν φέροι: εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης 665 μόνον γὰρ κέρδος: ἡ εὔκλεια· ἓν κέρδος τὸ αὐτὸν ἐκδικῆσαι ἀδικούμενον. ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν ἄδοξος (τοῦτο γὰρ μόνον (μόνως?) τὸ ἓν κέρδος, τὸ φέρειν κακόν, ἀλλὰ (?) τόδε κακὸν καὶ αἰσχρόν) 666 δειλῶν 671 οἷον εὐστόχως χειμαζέσθω ἴτω κατ' οὖρον: ἀπίτω κατ' εὐθεῖαν τοῦ Κωκυτοῦ κῦμα (οὗτος δὲ ποταμὸς εἰς Ἅιδου, οὗ πορθμεὺς ὁ Χάρων). ἐπειδὴ πᾶν τὸ γένος τὸ Λαΐου κεκλήρωται τούτῳ, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. Ἀπόλλωνος δὲ εἶπεν, ἐπειδὴ αὐτὸς μέν ἐστιν καθαρὸς καὶ ἀμίαντος καὶ μὴ κοινωνεῖν τῇ γυναικὶ παρήγγειλεν, οὗτοι δὲ παρήκουσαν καὶ ἐγένοντο (i. συνεγένοντο) ἀνόμως 673 ὠμοδακής σ' ἄγαν: ἡ ἄλογος ἄγαν ἐπιθυμία

---

665 ἡ εὔκλεια ἓν κέρδος· τὸ αὐτὸν H μόνον τὸ ἕν, κέρδος· τὸ φέρειν κακὸν ἐμέ (?), τόδε H

νει πικρόκαρπον ἀνδροκταcίαν τελεῖν
αἵματος οὐ θεμιcτοῦ.

ΕΤΕΟΚΛΗC

φίλου γὰρ ἐχθρά μοι πατρὸc τελεῖν ἀρὰ
ξηροῖc ἀκλαύcτοιc ὄμμαcιν προcιζάνει,
λέγουcα κέρδοc πρότερον ὑcτέρου μόρου.

ΧΟΡΟC

ἀλλὰ cὺ μὴ 'ποτρύνου· κακὸc οὐ κεκλή- cτρ. β'
cει, βίον εὖ κυρήcαc· μελαναιγὶc οὐκ
εἶcι δόμουc Ἐρινύc, ὅταν ἐκ χερῶν
θεοὶ θυcίαν δέχωνται.

ΕΤΕΟΚΛΗC

θεοῖc μὲν ἤδη πωc παρημελήμεθα,
χάριc δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν cαίνοιμεν ὀλέθριον μόρον;

ΧΟΡΟC

νῦν ὅτε cοι παρέcτακεν· ἐπεὶ κλύδων, ἀντ. β'

---

674 ἀνδροκλασίαν pr. ἀνδροκλασίαν (τ supra) rec. 675 θεμιςοῦ pr. θεμιςοῦ (τ supra) rec. 676 αἰσχρά τελεῖ ἀρᾶ, sed + eraso, supra εῖ autem picta nota, quam τελεία rec. interpretantur Mend. cum Momms. 677 ὄμμασι προσίζάνει 679 nihil nisi — praescriptum μὴποτρύνου κεκλήσηι 680 οὐ||κεῖσι pr., ubi εἰσί tert., ut vid. 683 nihil nisi — praecedit δόμων ὅτ' ἂν pr. οὔτ' ἂν aut οὗτ' ἂν obscuriore corr. m. sec. vel tert. 684 ο in λομ sec. in ras. 685 ἂν σ—αίνοιμεν, sed ἂ corr. ex ἄ, σ cum α sociatum m. sec., supra σ in parte dextra aliquid erasum, item supra α et supra οι (ex ἄν σ' αἰνοῖμεν pr.?) 686 nihil praescriptum ἐπεὶ δαίμων

παρορμᾷ ἡ πικρὸν καρπὸν καὶ κέρδοc ἔχουcα· εἰc ταὐτὸν οὖν τοὺc ἄνδραc ἀδίκου ἕνεκεν αἵματοc, ἵν' ᾖ, ὅτι μέλλουcιν οἱ ἀδελφοὶ ἀλλήλουc ἀναιρεῖν 676 (τελεία) 677 ἀcυμπαθέcιν, ἀναλγήτοιc 678 κέρδοc μοι ὑποτιθεμένη τὸ προτερῆcαι ἀποκτείναντα ἢ ὑcτερῆcαι 679 **ἀλλὰ cὺ μὴ 'ποτρύνου**: καλῶc γὰρ πράξαc οὐ νομιcθήcῃ φαῦλοc. οὐ γὰρ ἡ τὴν φοβερὰν ἔχουcα αἰγίδα Ἐρινὺc εἰc τὸν οἶκον ἐκείνου εἴcιcιν (i. εἴcειcιν), οὗ οἱ θεοὶ θυcίαc προcδέχονται 680 εὐτυχήcαc, εὖ πράξαc 681 κατὰ τῶν δόμων τοῦ ὁcίου ἀνδρόc ὁcίου ἀνδρόc, οὗ οἱ θεοὶ τὰc θυcίαc δέχονται 684 **χάριc δ' ἀφ' ἡμῶν**: τὴν ἀπώλειαν ἡμῶν ἐν χάριτοc μοίρᾳ λαμβάνουcιν· ἢ μετὰ θάνατον ἴcωc εὐκλείαc τευξόμεθα. ἄλλωc. μετὰ θάνατον, φηcίν, αἱ πράξειc τῶν ἀνθρώπων θαυμάζονται. τί οὖν οὐχὶ γενναῖόν τι δράcαντεc ἀποθανούμεθα, τὸν Πολυνείκη ὡc ἀcεβῆ ἀνε-

λήματος ἀντροπαίᾳ χρονίᾳ μεταλ-
λακτός, ἴσως ἂν ἔλθοι χαλαρωτέρῳ
πνεύματι· νῦν δ' ἔτι ζεῖ.

ΕΤΕΟΚΛΗΣ

ἐξέζεσαν γὰρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρῴων χρημάτων δατήριοι.

ΧΟΡΟΣ

πείθου γυναιξί, καίπερ οὐ στέργων ὅμως.

ΕΤΕΟΚΛΗΣ

λέγοιτ' ἂν ὧν ἄνη τις· οὐδὲ χρὴ μακράν.

ΧΟΡΟΣ

μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.

ΕΤΕΟΚΛΗΣ

τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.

ΧΟΡΟΣ

νίκῃ γε μέντοι καὶ κακὸν τιμᾷ θεός.

ΕΤΕΟΚΛΗΣ

οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

ΧΟΡΟΣ

ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;

---

687 ἀντροπαῖα pr. ἀντροπαῖα (accent superscript ´) sec. χρονία pr. χρόνια rec. 688 θα∗λωτέρωι pr., ut erasa littera infra versum pertinuerit. θα∗λω- (ρ superscript) τέρῳ rec. 690 ἐξέζεσυν pr. ut videtur, sine α litterae vestigio ullo. ἐξέζεσεν sec. 692 πατρώων δοτήρι∗∗ pr. δοτήριοι, ultima m. sec. in ras., praecedens fort. ex α corr. δοτήριοι (ΔΑ superscript) rec. 693 γυναιζὶν pr. γυναιξὶν rec. 694—697 nihil nisi —— praescriptum, item 700 et 701 694 ἄνη∗∗τίσ· pr., nisi quod accentus supra α sec. in ras. ἄνη τίσ (τὶσ superscript) rec. 695 μ'ήλθησ cum ras. supra σ dextram versus ὁδοῦσ 697 νίκην κακὴν

λόντες, ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτόν; 687 (ἀνατρεπτικός) 690 αἱ ἀραί 691 ὡς τοῦτο ἐν τοῖς ὕπνοις φαντασθεὶς, ὅτι δι' αἵματος αὐτῷ ἔσται ἡ τῶν χρημάτων διανομή 692 μερισταί 694 ὧν ἄνη τις: ἀνύσιμα καὶ τελεσθῆναι δυνάμενα 695 ἔνθα ὁ Πολυνείκης 697 τιμωρεῖται· ἢ ἐν ἐρωτήσει ὁ λόγος 698 οὐκ ἄνδρ' ὁπλίτην: ἐμὲ ὁπλίτην ὄντα οὐ χρὴ στέργειν τὸ ὑμέτερον ἔπος· οὐ χρὴ γὰρ ζητεῖν περὶ ἀγαθῆς ἢ κακῆς νίκης

ΕΤΕΟΚΛΗΣ

θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακά.

ΧΟΡΟΣ

πέφρικα τὰν ὠλεσίοικον στρ. α′
θεόν, οὐ θεοῖς ὁμοίαν,
παναληθῆ, κακόμαντιν
πατρὸς εὐκταίαν Ἐρινύν,
τελέσαι τὰς περιθύμους
κατάρας Οἰδιπόδα βλαψίφρονος·
παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει.

ξένος δὲ κλήρους ἐπινωμᾷ ἀντ. α′
Χάλυβος, Σκυθῶν ἄποικος,
κτεάνων χρηματοδαίτας
πικρός, ὠμόφρων σίδαρος,
χθόνα ναίειν διαπήλας,

---

700 ἐκφύγοισ pr. ἐκφύγοισ [οι] sec. 701 sqq. stropharum per totum carmen nulla distinctio 703 παναληθῆ ex παναληθεῖ ant. 706 βλαψίφρονοσ οἰδιπόδᾱ [ις] 707 δ' ἔρισδ' ὀτρύνει pr. δ' ἔράδ' ὀτρύνει rec. (tert.?) 708 κλήροι*σ ant., fort. corr. e κλήρουσ ἐπινωμᾶ pr. ἐπινωμᾶι sec. 709 σκυθῶν, sed ω m. pr. corr. ex οὐ ut vid. 710 κτεάνω* pr. κτεάνων rec.

---

701 πέφρικα τὰν ὠλεσίοικον: δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὸν Ἐρινῦν (i. Ἐρινὺν), οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον. πᾶς γὰρ θεὸς ἀγαθοποιός 702 θεοὶ γὰρ δοτῆρες ἐάων 703 παναληθῆ, κακόμαντιν: τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν. ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγονε (i. γέγωνε) 705 ἣν ἐπηύξατο Οἰδίπους τελέσαι τὰς ἀράς 707 παιδολέτωρ δ' Ἔρις: ταῦτα παρορμᾷ. δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. ὑποκοριστικῶς δὲ τὴν Ἐρινὺν Ἔριν εἶπεν 708 ξένος δὲ κλήρους ἐπινωμᾷ: ποιητικῶς πάνυ ταῦτα ὁ Αἰσχύλος. τὸν γὰρ Χαλυβαϊκὸν [Χαλυβικὸν] (i. Χαλυβδικὸν) καὶ Σκυθικὸν σίδηρόν φησι ταῦτα πράττειν. σεσωματοποίηκε γὰρ τὸν σίδηρον, ὅν φησιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων, καὶ διὰ ταῦτα πολεμούντων. οὗτος οὖν, φησί, μερίζει τοῖς παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ παιδία (παιδία [ε]) μεγάλα, ἀλλὰ παντελῶς μικρά, δυνάμενα μόνα αὐτῶν τὰ σώματα χωρῆσαι (i. χωρίσαι) πεπτωκότα. ὅταν μέντοι αὐτοὺς κτάνωσι καὶ ἡ πατρῴα αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μύσος αὐτῶν

---

703 (ἃ γὰρ — γέγονε.) H

ὁπόςαν καὶ φθιμένοιςιν κατέχειν,
τῶν μεγάλων πεδίων ἀμοίρους.

ἐπειδὰν αὐτοκτόνως στρ. β′
αὐτοδάϊκτοι θάνωςι
καὶ γαῖα κόνις πίῃ
μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι;
τίς ἄν σφε λούςειεν; ὦ
πόνοι δόμων νέοι παλαι-
οῖςι ςυμμιγεῖς κακοῖς.

παλαιγενῆ γὰρ λέγω ἀντ. β′
παρβαςίαν ὠκύποινον·
αἰῶνα δ' ἐς τρίτον μένει,
Ἀπόλλωνος εὖτε Λάϊος
βίᾳ, τρὶς εἰπόντος ἐν

---

713 φθιμένοισι 715 ἐπεὶ δ' ἂν pr. ἐπειδὰν sec. αὐτοὶκτόνωσιν, sed ι m. rec. αὐτοὶκτάνωσιν corr. ead. m. 717 καὶ χθονία κόνισ πίη 719 καθαρ** pr. καθαρμα sec. καθαρμα rec. (ὀν supra) 721 παλαιοῖσ 722 συμμιγεῖσ ant. (.ξ. supra) 724 παραβασίαν ὠκύπονον pr. ut vid. 727 βία pr. βία[1] sec.

κἀποκαθάρῃ; ἤ, ὅταν ὁ ἕτερος ἀποκτείνας αὐτὸς ζήςει (i. ζήςῃ), τίς αὐτὸν καθάρῃ τοῦ μύςους; ἐάν, φηςίν, ἡ πατρία γῆ πίῃ τὸ αὐτῶν αἷμα. ἔνθεν καὶ αὐτόχθονας φαμέν 713 τάφου μοῖραν ἀπομερίςας αὐτοῖς 716 αὐτοὶ ἑαυτοὺς φονεύςαντες. τῷ ἑαυτῶν ςιδήρῳ ἑαυτοὺς τρώςαντες 719 τίς ἂν [ἂν καθαρμὸς] εὑρεθείη; τίς αὐτοὺς ἐκλύςει τοῦ τοιούτου μιάςματος; 723 τὴν παλαιὰν παράβαςιν. παρέβη γὰρ τὸν χρηςμὸν τοῦ Ἀπόλλωνος 724 (τὴν ὀξέως μετελθοῦςαν αὐτόν) 725 Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους 726 Ἀπόλλωνος εὖτε Λάϊος: τὸ φιλάνθρωπον τοῦ θεοῦ ἐμφαίνεται διὰ τούτου. ὅταν, φηςίν, ὁ Ἀπόλλων τρὶς εἴπῃ τῷ Λαΐῳ· μὴ ςπεῖρε τέκνων ἄλοκα, ἐπεὶ κτενεῖ ςε ὁ φύς. αὐτὸς δὲ παρωςάμενος τὰς τοῦ θεοῦ ἐντολάς, ὑπὸ τῶν ἡδονῶν αὐτοῦ κατακρατηθεὶς ςυνῆλθεν τῇ Ἰοκάςτῃ. τὸ δὲ ἑξῆς, εὖτε Λάϊος κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν· ἢ ἀντὶ τοῦ τῆς γυναικός. κρεῖςςον [κρείςςω] γὰρ τὰ πάθη τῶν λογιςμῶν 727 τὸ φιλάνθρωπον τοῦ θεοῦ διὰ τοῦ τρὶς ἐμφαίνει

---

719 τίς ἂν εὑρηθείη; τίς ἂν αὐτοὺς H

μεσομφάλοις Πυθικοῖς
χρηστηρίοις, θνάσκοντα γέν-
νας ἄτερ σώζειν πόλιν.

κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις — στρ. γ'
ἐγείνατο μὲν μόρον αὐτῷ,
πατροκτόνον Οἰδιπόδαν,
ὅστε μὴ πρὸς ἁγνὰν
σπείρας ἄρουραν, ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν
ἔτλα· παράνοια συνᾶγε
νυμφίους φρενώλεις.

κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει· — ἀντ. γ'
τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύ-
μναν πόλεως καχλάζει·
μεταξὺ δ' ἀλκὰν δι' ὀλίγου
τείνει πύργος ἐν Ἄρει.

---

729 θνά*σκοντα pr. θνά*σκοντα (η supra) sec. 731 ἀβουλίαν 732 γείνατο 734 ματρόσ, sed in mrg.: μὴ πρὸσ tert. 737 ἔτλη (.α. supra) ant. παρανοία pr. παράνοια sec. σύναγε pr. συναγε (άγ supra) rec. 738 φρενώλησ pr. φρενώλησ (εις supra) sec. (an pr.?) 740 πιτνὸν (non πίτνον) 743 ἀλκὰ 744 ἐν εὔρει

---

730 σωθήσεται γὰρ οὕτως ἡ πόλις 731 οἷς ἐκοινώσατο τὸν χρησμόν 735 ὑπερβατόν, σπείρας ῥίζαν αἱματόεσσαν 737 ἔτλα, παράνοια: ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς. ἡ δὲ ἄγνοια, φησί, τὰς φρένας ἀπολλύουσα συνήγαγε 738 γάμους 739 κακῶν δ' ὥσπερ θάλασσα: τὰ κακὰ ὥσπερ θαλάσσῃ ἔοικεν, καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν· ἅτινα βρέμει περὶ τὸ ἄκρον τῆς πόλεως 740 πρὸ μέν τ' ἄλλα, αὐτὰρ ἐπ' ἄλλα τὸ μὲν πίτνον: οὕτως λέγει, τὸ μὲν πίπτει, τὸ δὲ διεγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται 743 μεταξὺ δ' ἀλκά: μεταξὺ δὲ ἡμῶν δι' ὀλίγου ἐστὶν ἡ τῶν πολεμίων δύναμις τῆς ἡμετέρας, καὶ τὸ διάστημα ὁ πύργος ὁ διείργων ἐστίν 744 ἐν πλάτει, ἐν μεταιχμίῳ

---

737 ἔτλα παρ' ἀνοίᾳ. ἔτλη δὲ ἀγνοίᾳ H

δέδοικα δέ, cὺν βαcιλεῦcι
μὴ πόλις δαμαcθῇ.

τέλειαι γὰρ παλαιφάτων ἀρᾶν — cτρ. δ′
βαρεῖαι καταλλαγαί· τὰ δ᾽ ὀλοὰ
πελόμεν᾽ οὐ μάψ ἔρχεται.
πρόπρυμνα δ᾽ ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηcτᾶν
ὄλβος ἄγαν παχυνθείc.

τίν᾽ ἀνδρῶν γὰρ τοcόνδ᾽ ἐθαύμαcαν — ἀντ. δ′
θεοὶ καὶ ξυνέcτιοι πόλεοc, ὁ
πολύβοτός τ᾽ αἰὼν βροτῶν,
ὅcον τότ᾽ Οἰδίπουν τίον,
τὰν ἁρπαξάνδραν
κῆρ᾽ ἀφελόντα χώραc;

ἐπεὶ δ᾽ ἀρτίφρων — cτρ. ϵ′

---

745 σῦμβαλεῦσι pr. σὺνβαλεῦσι[σϊ] sec. 747 τέλεια* pr. τέλεια*[αι] rec. (τέλεια[οσ] Momms.) ἀραι, prima littera e corr. rec. 749 πελόμεν᾽ [>] pr. τελόμεν᾽ rec. οὐσπαρέρχεται 750 ἐκβολῶν pr., 'sed ῶ m. rec. corr. in ὰ, supra ο lineola erasa et m. sec. ών vel λόν ' (Ribb.) 753 τοσόνδ᾽ (non τόσον) 754 πόλεωσ ‖ πολύβοτος᾽ pr. πόλεωσ ‖ πολύβοτός τ᾽ rec. 756 τῖον ‖ ἀναρπαξάνδραν

---

747 τέλεια γὰρ παλαιφάτων: τὸ τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκεν δὲ τὸ ῑ διὰ τὸ μέτρον 748 βαρεῖαι καταλλαγαί: δυcχερὲc τὸ φιλιωθῆναι αὐτοὺc διὰ τὰc κατάραc τὰ δ᾽ ὀλοά: τὰ δὲ δεινὰ τελούμενα οὐ παρέρχεται ἡμῶν 749 (οὐχ ἵcταται) 750 πρόπρυμνα δ᾽ ἐκβολάν: ὅταν δὲ παχυνθῶcιν οἱ ἄνδρεc τῷ ὄλβῳ, τότε ὅλου τοῦ φόρτου ἐκβολὴν ποιοῦνται. τοῦτο δὲ πρὸc Ἐτεοκλέα. ἐκβολῶν δέ, τῶν ὑβριcτῶν, οἷον δι᾽ ἐκβολῆc ὑβριζόντων 751 (φρονίμων) 753 παρὰ τοῦτο οὖν (i. τοῦτο· ἦν) Οἰδίπουc τὸ πρῶτον εὐδαίμων ἀνήρ 755 πολύβοτόc τ᾽ αἰών: ὁ ὑπὸ πολλῶν ἐμβατευόμενοc ἀνδρῶν. ἢ ὁ ἐπιπολὺ ἐκτεινόμενοc 756 ὅcον τότ᾽ Οἰδίπουν τίον: ὅcον θαυμαcθῆναι καὶ δοξαcθῆναι ἐποίηcαν. καὶ Εὐριπίδηc· Οἰδίπουc τὸ πρῶτον εὐτυχὴc ἀνήρ. ἀναρπαξάνδραν δὲ τὴν ἀναρπάξαcαν πολλοὺc τῶν ἀνδρῶν. μεταπλαcμὸc τοῦ ἀναρπάξανδροc 758 κακὴν μοῖραν 759 ἐπεὶ δ᾽ ἀρτίφρων: ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ cυνῆκεν ὃ ἔπραξε

---

755 ἢ ἐπὶ πολὺ H

ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυςφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεςεν·
πατροφόνῳ χερὶ τῶν
κυρςοτέκνων ὀμμάτων ἐπλάγχθη,

τέκνοιςιν δ' ἀρὰς — ἀντ. ε′
ἐφῆκεν ἐπικότους τροφᾶς,
αἰαῖ, πικρογλώςςους ἀράς,
καί ςφε ςιδαρονόμῳ
δία χερί ποτε λαχεῖν
κτήματα· νῦν δὲ τρέω,
μὴ τελέςῃ καμψίπους Ἐρινύς.

ΑΓΓΕΛΟΣ

θαρςεῖτε παῖδες μητέρων τεθρυμμέναι.
πόλις πέφευγεν ἥδε δούλειον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάςματα,
πόλις δ' ἐν εὐδίᾳ τε, καὶ κλυδωνίου

---

761 in ἄλγει αλ sec. in ras. 762 καρδίαι 765 κρείσσω τέκνων pr. κρεισσοτέκνων sec. δ' ἀπ' ὀμμάτων 766 τέκνοισ δ' ἀραίασ 767 ἐπι*κότουσ cum ras. τροφὰσ 768 ἀῖ ἀῖ 769 σιδαρ*νόμωι (fort. σιδαρανόμωι) pr. σιδαρονόμωι e corr. 770 διαχειρίαι 772 τελέση 773 ἀγγε͡ praescriptum τεθραμμέναι 774 ἦδε 775 πέπτωκεν δ' 776 εὐδία[1] ant.

κατὰ τῆς μητρός. εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὸ τοῦ μάθῃ [μαθεῖν] τὸ μητρομίξιον. δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι. ἓν γὰρ κακὸν τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων. ἢ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας, οἳ ἦσαν τῶν ὀφθαλμῶν κρείσσονες. ὀμμάτων δ' ἐπλάγχθη ἀντὶ τοῦ ἐστερήθη τῶν κρειττόνων ὀμμάτων. λέγει δὲ τῶν περὶ Ἐτεοκλέα καὶ Πολυνείκη 764 τῇ τὸν πατέρα φονευσάσῃ χειρί 765 ἐχωρίσθη 767 ἐπικότους τροφάς: ἐπιβλαβεῖς δὲ ἐντολὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς 769 καί σφε σιδαρονόμῳ: καὶ τοῦτο ἐπηράσατο διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι 772 ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας· οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν 773 θαρσεῖτε, παῖδες: ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν συγγενεῖς, ἢ δειλαί, ὑπὸ μητέρων ἁπλῶς (i. ἁπαλῶς) τεθραμμέναι 775 τὰ παλαιὰ αὐτῶν κομπάσματα 776 πόλις δ' ἐν εὐδίᾳ τε: ἀλληγορεῖ πάλιν, καὶ λέγει ὅτι πολλῶν

πολλαῖcι πληγαῖc ἄντλον οὐκ ἐδέξατο,
cτέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφραξάμεcθα μονομάχοιcι προcτάταις.
καλῶc ἔχει τὰ πλεῖcτ' ἐν ἓξ πυλώμαcιν,
τὰc δ' ἑβδόμαc ὁ cεμνὸc ἑβδομαγέταc
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει
κραίνων παλαιὰc Λαΐου δυcβουλίαc.

ΧΟΡΟC

τί δ' ἐcτὶ πρᾶγοc νεόκοτον πόλει παρόν;

ΑΓΓΕΛΟC

πόλιc cέcωcται· βαcιλέοιν δ' ὁμοcπόροιν

ΧΟΡΟC

τίνων; τί δ' εἶπαc; παραφρονῶ φόβῳ λόγου.

ΑΓΓΕΛΟC

φρονοῦcα νῦν ἄκουcον, Οἰδίπου γένουc

ΧΟΡΟC

οἲ 'γὼ τάλαινα, μάντιc εἰμὶ τῶν κακῶν.

ΑΓΓΕΛΟC

πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

---

779 ἐφραξάμεθα 780 καλῶσ ἔχει pr. καλῶσ ἔχει rec. (Δ' supra) 782 εἵλετ'* cum ras. 784 praescriptum X (o supra), inde a proximo versu usque ad 794 (οὕτωσ ὁ δαίμων) nihil nisi —, a v. 795 autem usque ad 852 prorsus nihil ἐστι πρᾶγμα πόλει πλέον post v. 784 hoc se ordine proximi versus excipiunt m. pr. scripti:

1 — πόλισ σέσωσται βασιλέωσ δ' ὁμόσποροι 785
ἄνδρεσ τεθνᾶσιν ἐκ χειρῶν αὐτομάτων· 791
— τίνεσ· τί δ' εἶπασ· παραφρονῶ φόβω λόγου 786
— φρονοῦσα νῦν ἄκουσον· οἰδίπου ** τόκοσ 787
5 — οἲ ἐγὼ τάλαινα· μάντίσ εἰμὶ τῶν κακῶν· 788
— οὐδ' ἀμφ*λέκτωσ μὴν κατησποδημένοι· 793
— ἐκεῖθι κεῖσθον; βαρέα δ' οὖν ὅμωσ φράσον· 790
— οὕτωσ ἀδελφαῖσ χερσὶν ἠναίροντ' ἄγαν· 792
— οὕτωσ ὁ δαίμων κοινὸσ ἦν ἀμφοῖν ἅμα· 794

προcβαλόντων τῇ πόλει οὐδεὶc εἰc αὐτὴν εἰcέπεcεν 777 τοῦ κύματοc τὸ ὕδωρ 781 τὰc δ' ἑβδόμαc: ἀξιοπίcτωc καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν. ἡ γὰρ ἑβδόμη, φηcί, πύλη, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνοc τὰ Λαΐῳ δοθέντα τέλοc λάβῃ. ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. πέπονθεν οὖν οὐχὶ αὐτὴ ἡ πύλη ἡ ἑβδόμη, ἀλλὰ ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆc ἐν ἑβδόμῃ γεννηθείc 782 ἔcωcεν 784 νεωcτὶ καταcκευαcμένον 788 προεῖπεν γὰρ αὐτά

ΧΟΡΟϹ

ἐκεῖθι κῆλθον; βαρέα δ' οὖν ὅμωϲ φράϲον.

ΑΓΓΕΛΟϹ

῾ἄνδρεϲ τεθνᾶϲιν ἐκ χερῶν αὐτοκτόνων.

ΧΟΡΟϹ

οὕτωϲ ἀδελφαῖϲ χερϲὶν ἠναίροντ' ἄγαν.

ΑΓΓΕΛΟϹ

οὐδ' ἀμφιλέκτωϲ μὴν κατεϲποδημένοι.

ΧΟΡΟϹ

οὕτωϲ ὁ δαίμων κοινὸϲ ἦν ἀμφοῖν ἅμα.

ΑΓΓΕΛΟϹ

αὐτὸϲ δ' ἀναλοῖ δῆτα δύϲποτμον γένοϲ.
τοιαῦτα χαίρειν καὶ δακρύϲαϲθαι πάρα·
πόλιν μὲν εὖ πράϲϲουϲαν, οἱ δ' ἐπιϲτάται
διϲϲὼ ϲτρατηγὼ διέλαχον ϲφυρηλάτῳ
Ϲκύθῃ ϲιδήρῳ κτημάτων παμπηϲίαν.
ἕξουϲι δ' ἣν λάβωϲιν ἐν ταφῇ χθόνα,
πατρὸϲ κατ' εὐχὰϲ δυϲπότμουϲ φρουρούμενοι.

---

10 αὐτὸσ δ' ἀναλοῖ δῆτα δύσποτμον γένοσ 795
τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν· οἱ δ' ἐπιστάται
δισσὼ * στρατηγὼ διέλαχον σφυρηλάτω
σκύθηι σιδήρωι κτημάτων παμπησίαν·
15 ῞εξουσι δ' ἣν λάβωσιν ἐνταφῆ χθονὸσ 800
πατρὸσ κατ' εὐχὰσ δυσπότμουσ φορούμενοι· 801
17 πόλισ σέσωσται. βασιλείοιν δ' ὁμοσπόροιν 785
πέπωκεν αἷμα γᾶν ὑπ' ἀλλήλων φόνωι· 789

Vbi v. 1 βασιλέωσ (εἶσ) rec. 2 αὐτομάτων (.κτ όνων.) sec. (pr.?) 3 φόβω' sec. 4 *τόκοσ (.γένοσ.) sec. 7 κεῖσθον; (.ηλ.) sec. (pr.?) 10 δ' (γ) rec. 11 δακρύεσθαι (σ) sec. 18 γᾶν (fort. ex γάρ) pr. γαῖ rec.

---

790 ἐκεῖθι κῆλθον: εἰϲ τοϲοῦτον ἦλθον ὥϲτε καὶ φονευθῆναι τὸν βαϲιλέα; 793 ἀμφιβόλωϲ 795 αὐτὸϲ δ' ἀναλοῖ: ὁ Ἀπόλλων ἀναλίϲκει τὸ τοῦ Οἰδίποδοϲ γένοϲ 799 (τὴν περιουϲίαν) 800 ὅϲον ἐνταφῆναι

ΧΟΡΟϹ

ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ τούσδε ῥύεσθε
Κάδμου πύργους,
πότερον χαίρω κἀπολολύξω
σωτῆρι πόλεως ἀσινείᾳ,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχας;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
κλεινοί τ' ἐτεὸν καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.

ὦ μέλαινα καὶ τελεία — στρ. α'
γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος·
ἔτευξα τύμβῳ μέλος
θυιάς, αἱματοσταγεῖς
νεκροὺς κλύουσα δυσμόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.

---

802 πολισσοῦχοι 803 οἳ δὴ κάδμου πύργουσ ‖ τὸυσ δ' ἐρύεσθαι pr., sed cum ras. super υ in τουσ. τόυσθε, ῥύεσθε sec. 806 πόλεωσ ἀσινεῖ σωτῆρι 808 πολεμάρχουσ 809. 810 ἐπωνυμίαν ‖ καὶ πολυνεικεῖσ 811 ἀσεβῆ pr. ut videtur. ἀσεβ*ῖ rec, paenultima fort. ε 814 καρδίαι, sed ultima fort. m. sec. τί, sed ι sec. in ras. περιπίτνει pr. περιπιτνεῖ rec. 816 θ**ὰσ pr. θυϊὰσ rec. in ras. 817 δυσφόρωσ (non δυσμόρωσ) 818 ἁ ‖ δε 819 ante δορόσ ras.

---

802 ὁ τρόπος ἐξοχή. Ζεῦ ἄλλοι τε θεοί 805 πότερον χαίρω: φρονίμως ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν, καὶ σωθείσης τῆς πόλεως ἄτοπον (i. ἄτοπον ἡγεῖται) τὸ θρηνεῖν. καὶ οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι (κἀπολολύξω: μετὰ χαρᾶς παιωνίσω) 808 ἐπὶ κακῷ τεχθέντας (ἢ τοὺς μὴ τεκνοποιήσαντας) 809 οἳ δῆτ' ὀρθῶς: ὀρθῶς οὖν καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκεις (i. Πολυνείκης) ἐκλήθησαν 812 καὶ τελεία γένεος: καὶ τελουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά 814 περιπίπτει φόβος κακοῦ 815 ἔτευξα τύμβῳ μέλος: τὸ ἑξῆς, κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων ἐπιτυμβίδιον θρῆνον ἔτευξα, ὡς θυιάς 818 ἦ δύσορνις ἅδε: δυσοιώνιστος γέγονεν αὐτοῖς ἡ συμφορὰ τῆς μάχης. ἐπὶ κακῷ συνῆλθον εἰς μάχην

ἐξέπραξεν, οὐδ᾽ ἀπεῖπε ἀντ. α′
πατρόθεν εὐκταία φάτις,
βουλαὶ δ᾽ ἄπιστοι Λαΐου διήρκεσαν·
μέριμνα δ᾽ ἀμφὶ πτόλιν·
θέσφατ᾽ οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ᾽ εἰρ-
γάσασθ᾽ ἄπιστον· ἦλθε δ᾽ αἰ-
ακτὰ πήματ᾽ οὐ λόγῳ.

τάδ᾽ αὐτόδηλα· προῦπτος ἀγγέλου λόγος· στρ. β′
διπλαῖ μέριμναι, δίδυμ᾽ ἀγανόρεα κακά,
αὐτοφόνα, δίμορα, τέλεα τάδε πάθη· τί φῶ;
τί δ᾽ ἄλλο γ᾽ ἢ πόνοι δόμων ἐφέστιοι;
ἀλλὰ γόων, φιλίαι, κατ᾽ οὖρον

ἐρέσσετ᾽ ἀμφὶ κρατὶ πόμπιμον χεροῖν ἀντ. β′
πίτυλον, ὃς αἰεὶ δι᾽ ᾿Αχέροντ᾽ ἀμείβεται
τὰν ναύστολον μελάγκροκον θεωρίδα,

---

820 ἀπεῖπεν 823 ἀμφιπτόλιν 826 ἄσπιστον 828 πρ**τοσ pr. (ρ fort. corr. ex τ). προῦπτοσ rec. in ras. 829 διπλαῖ* μερίμναι* pr., ubi μέριμναι* e corr. ᾱνορέα ‖ κάκ᾽ 830 δίμοιρα τέλεια τὰ πάθη, sed ρα corr. ex ρὰ 831 πόνοι πόνων ‖ δόμων 832 γόον ὦ φίλαι οὖρον pr. οὖρrον rec., sed r rursus erasa 834 αἰὲν 835 τᾱν ἄστονον μελάγκροκον ‖ ναύστολον θεωρίδα

---

820 οὐδ᾽ ἀπεῖπεν: οὐκ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινὰ παρὰ Οἰδίποδος 822 ἐπεὶ οὐκ ἐπείσθη ᾿Απόλλωνι 823 μέριμνα δ᾽ ἀμφὶ πτόλιν: ἡ δὲ φροντὶς, ἣν ἔσχεν ὁ Λάϊος περὶ τὴν μίξιν, καὶ τὰ θεσπίσματα παρὰ τοῦ θεοῦ καὶ τῆς πόλεως οὐχ ἡσύχασεν, οὐκ ἀμβλύνεται, ἀλλ᾽ ἐκ τοῦ ἐναντίου ὀξέως τελεῖται 824 ἀπρακτεῖ 827 ἀλλ᾽ ἔργῳ αἰακτά: θρηνητικά 828 τὰ δ᾽ αὐτόδηλα: αὐτὰ δὲ ταῦτα φανερά. ὁρᾷ ὁ χορὸς τὰ σώματα βασταζόμενα ὁμολογούμενος 829 κάκ᾽ αὐτοφόνα: ἀλληλοκτόνοι γὰρ ἐγένοντο 831 ἢ τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τοῖς οἴκοις τούτοις 834 (κτύπον) 835 τὴν διάγουσαν τοὺς νεκρούς τὰν ναύστολον θεωρίδα: οὐ τὴν [θεωρίδα: τὴν] τοῦ Χάρωνος ναῦν θεωρίδα εἶπεν. κυρίως δὲ τοῦ ᾿Απόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη. λέγει δὲ ὅτι ταύτην ὁδὸν θεωρητικὴν ὥσπερ οἶδεν ὁ στόνος τὴν ἐπὶ τὸν ᾿Αχέροντα, τὴν ἀνήλιον, ἣν μηδὲ ἥλιος ὁρᾷ, ἢ τὴν ἀναπνοήν. ἁγνὴ γὰρ ἐκείνη ἡ εἰς Δῆλον ἀπιοῦσα. πάνδοκον δέ, ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας (τὴν ἔχουσαν μέλαν λαῖφος)

τὰν ἀςτιβῆ ᾿πόλλωνι, τὰν ἀνάλιον
πάνδοκον εἰς ἀφανῆ τε χέρςον.

ἀλλὰ γὰρ ἥκους᾿ αἵδ᾿ ἐπὶ πρᾶγος
πικρόν, ᾿Αντιγόνη τ᾿ ἠδ᾿ ᾿Ιςμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαί cφ᾿ ἐρατῶν ἐκ βαθυκόλπων
cτηθέων ἥcειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυςκέλαδόν θ᾿ ὕμνον ᾿Ερινύος
ἰαχεῖν, ᾿Αΐδα τ᾿
ἐχθρὸν παιᾶν᾿ ἐπιμέλπειν.
ἰώ,
δυςαδελφόταται πασῶν, ὁπόςαι
στρόφον ἐςθῆςιν περιβάλλονται,
κλαίω, στένομαι, καὶ δόλος οὐδείς,
μὴ ᾿κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ ἰὼ δύςφρονες, στρ. α´
φίλων ἄπιςτοι καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόν-
τες μέλεοι cὺν ἀλκᾷ.

---

836 τ̀ᾰν ἀστιβ*ὶ pr. ἀπόλλω** ‖ νι· τῡν 838 αἶδ᾿ ἐπὶ πράγοσ 840 ἀδελφοῖν οὐκ sine interpunctione 846 ἐχθρῶν in ἐπιμέλπειν ἐ corr. sec. m. ex ι, rasum autem et supra ι et in sinistra parte supra π 847 ἰὼ proximo v. sociatum 852 sqq. — lineola praemissa versibus 852. 856. 858. 872. 875. 890, item v. 870 (ubi vide) ante versus initium πεπλαγμένουσ: praeterea nihil eius modi (praeter quasdam rasuras, de quibus v. ad 865. 887. 889) usque ad 892 855 ἀλκᾶι, sed in mrg. m. scholiastae (i. e. sec.) γρ αἰχμᾶι

---

836 (ἐφερμηνευτικόν) 838 ἐπὶ τὸ πρᾶγμα, τοῦτ᾿ ἔστιν ἐπὶ τὴν cυμφορὰν αἱ ἀδελφαὶ τῶν βασιλέων 843 ἡμᾶς δὲ δίκη πρότερον: δίκαιον ἡμᾶς προκατάρχεςθαι ὡς προακουςάςας, ὑπακούειν δὲ ἐκείνας 846 ἔστι γὰρ καὶ παιὰν ἐπ᾿ ἀγαθοῖς 847 ἰὼ δυςαδελφόταται: ὦ δυςαδελφόταται πασῶν παρθένων, αἳ μήτρας (i. μίτρας) κατὰ τὴν φθορὰν λύονται. ἀντὶ δὲ τῆς μήτρας (i. μίτρας) καὶ ζώνης νῦν στρόφον εἶπεν 850 στένομαι: ἀντὶ τοῦ στένω ᾿Αττικῶς. καὶ γὰρ ἰατρεύομαι καὶ ἀλεύομαι φαςίν 851 ὅτι οὐκ ἐκ ψυχῆς θρηνῶ 853 ἐν κακοῖς ἀκμῆτες 854 πατρῴους δόμους ἑλόντες: αἴτιοι τῆς ἁλώςεως γενόμενοι, πορθήςαντες, ἐρήμους ποιήςαντες τῷ ξίφει

HMIXOPION B

μέλεοι δῆθ', οἳ μελέους θανάτους
εὕροντο δόμων ἐπὶ λύμῃ.

HMIXOPION A

ἰὼ ἰὼ δωμάτων ἀντ. α'
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, τί δὴ διήλ-
λαχθε cὺν cιδάρῳ.

HMIXOPION B

κάρτα δ' ἀληθῆ πατρὸc Οἰδιπόδα
πότνι' Ἐρινὺc ἐπέκρανεν.

HMIXOPION A

δι' εὐωνύμων τετυμμένοι, cτρ. β'

HMIXOPION B

τετυμμένοι δῆθ', ὁμο-
cπλάγχνων τε πλευρωμάτων

. . . .

ι
859 ἐρριψιτ*χοι pr. ἐρριψίτοχοι rec. 860 ἰδόντεσ· ἤδη 861 σιδάρωι fort. sec. ex σιδάρω inter 861 et 862 insertus hic v.: οὐκ ἔτ' (ε e corr.) ἐπὶ φιλίαι (φιλία pr.). ἀλλ' ἐπὶ φόνωι (φόνω pr.) διεκρίθητε· 865 δῆτα ante v. 866 — nota erasa, sed deinceps ὁμ——οσπλάγχνων post 866 nihil lacunae 867 sqq. tales sunt:

αἶ αἶ δαιμόνιοι αἰ αἶ δ' ἀντιφόνων
θανάτων ἀραί· — διανταίαν λέγει σπλαγὰν
δόμοισι καὶ σώμασιν·
— πεπλαγμένουσ ἐνέπω· — ἀναυδάτωι μένει

σ
ubi v. 2 λέγει rec., supra ἀν autem ras. 3 ante δόμοισι — erasum
ν
4 ἐνέπω sec. (pr.?) ἀναυδάτω pr. ἀναυδάτωι sec. (pr.?)

---

860 τὴν ἴcην μοῖραν λαχόντεc ἤδη διήλλαχθε: ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέcει τῇ cιδήρου 862 κάρτα δ' ἀληθῆ: τῷ ὄντι ἡ τοῦ Οἰδίποδοc Ἐρινὺc ἐτελείωcε τὰc ἐκείνου ἀρὰc κατὰ τῶν παίδων 864 δι' εὐωνύμων τετυμμένοι: τὸ ἑξῆc, διήλλαχθε δι' εὐωνύμων. τοῦτο δὲ cυμβαίνει ἐν τοῖc κατὰ τὸ ἐναντίον ἱcταμένοιc 865 ὁμοcπλάγχνων τε πλευρωμάτων: διαμπὰξ ἀλλήλων τὰc πλευρὰc τρώcαντεc. ἑκάτεροc γὰρ τῶν μονομαχούντων τὸ ἀριcτερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώcκειν βούλεται. οἷον διὰ τῶν πλευρῶν αὐτῶν καθήκαcιν οἱ ὁμόcπλαγχνοι

ΗΜΙΧΟΡΙΟΝ Α

αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφόνων θανάτων ἀραί.

ΗΜΙΧΟΡΙΟΝ Β

διανταίαν λέγεις πεπλαγμένους
καὶ δόμοισιν ἐννέπειν,
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
σὺν διχόφρονι πότμῳ.

ΗΜΙΧΟΡΙΟΝ Α

διήκει δὲ καὶ πόλιν στόνος. ἀντ. β'

ΗΜΙΧΟΡΙΟΝ Β

στένουσι πύργοι, στένει
πέδον φίλανδρον, μενεῖ
κτέανά τ' ἐπιγόνοις.

ΗΜΙΧΟΡΙΟΝ Α

δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα θανάτου τέλος.

ΗΜΙΧΟΡΙΟΝ Β

ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ

---

873 ἀραίαι 874 πατρὸσ ‖ διχόφ͡ρονι 875 κτέανατ', sed αν litteris rescriptis rec., ultima α corr. rec., fort. ex ε 880 ἔβα ‖ καὶ θανάτου 882 ὥσθ' pr. ὥσθ' (τ suprascr.) sec. ἶσον

---

870 διανταίαν λέγεις πλαγάν: πληγὴν λέγεις διαμπὰξ γενομένην, καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων. ἄμφω γὰρ ἔχει κακῶς 872 ἀναυδάτῳ μένει: ἀνῄρηνται ὑπ' ἀλλήλων ἰσχύϊ μεγάλῃ καὶ ἀλαλητῷ ἀκαθέκτῳ ὀργῇ 874 οὐχ ὁμονοοῦντες 875 ὁ τούτων στεναγμὸς ἥψατο καὶ τῆς πόλεως 877 μενεῖ κτέανά τ' ἐπιγόνοις: ἄλλοις ἔσται τὰ χρήματα δι' ἃ ἀπώλοντο. ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἷον τὰ ὀνείδη, διήξει μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἷον κληρονομήσουσι τῶν παθῶν οἱ παῖδες 881 ὀξυκάρδιοι: ὀξύθυμοι ὄντες ἐμοιρήσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσον λαχεῖν. φησὶ δὲ τὰς ταφάς. 883 διαλλακτῆρι δ' οὐκ ἀμεμφία: μέμφονται δὲ οἱ φίλοι αὐτῶν τὸν διαλλακτῆρα σίδηρον ὡς μηδετέρῳ χαρισάμενον

---

881 ἶσον H

ἀμεμφεία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

ΗΜΙΧΟΡΙΟΝ Α

ςιδαρόπλακτοι μὲν ὧδ' ἔχουςιν, στρ. γ'
ςιδαρόπλακτοι δὲ τοὺς μένουςιν,
τάχ' ἂν τις εἴποι τίνες,
τάφων πατρῴων λαχαί.

ΗΜΙΧΟΡΙΟΝ Β

δόμων μάλ' ἀχὰν ἐπ' αὐτοῖς
προπέμπει
δαϊκτὴρ γόος αὐτόςτονος αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογα-
θής, ἐτύμως δακρυχέων
ἐκ φρενός, ἃ κλαιομένας μου μινύθει,
τοῖνδε δυοῖν ἀνάκτοιν.

ΗΜΙΧΟΡΙΟΝ Α

πάρεςτι δ' εἰπεῖν ἐπ' ἀθλίοιςιν, ἀντ. γ'
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
ξένων τε πάντων ςτίχας
πολυφθόρους ἐν δαΐ.

---

884 οὐ ‖ κἀμεμφία 886 σιδηρόπληκτοι ante 887 et 889 —— nota erasa 887 σιδαρόπληκτοι (sic) μένουσι inter 887 et 888 insertus hic versiculus: τετυμμένοι δῆθ' ὁμοῦ· (= 865) 888 τισ, sed σ sec. in ras., fort. etiam ι e corr., cum spatium tribus litteris sufficiat 889 πατρώων 890 μάλ' ἀχάεσσα τοὺσ πρὸπέμπει, sed fort. apostrophus et spiritus una cum — m. sec. μάλ' ἠχῶ ἐπ' αὐτοὺσ in mrg. m. rec. 892 $\overset{o}{X}$ praemissum 893 δαΐφρω^{v} δ' οὐ ant. (non δαϊόφρων) φιλο*γαθὴσ cum exigua rasura 894 δακρυχέων δ' ἐκ 896 δοιοῖν 897 hemichorii nota ημι $\overset{o}{X}$ praecedit πάρεστιν δ' 898 πολίταισ

---

888 τάχ' ἄν τις εἴποι: ὡς ἀνοήτως αὐτὸ εἰπούςης ἐρωτᾷ τίνες αὐτοὺς μένουςι 889 αἱ ςκαφαί· τὸ (i. ὡς τὸ) φυτὸν ἀμφελάχαινεν 890 λείπει τὸ προπομπά (προπομπῷ?) 892 αὐτόςτονος: ἐν ἑαυτῷ τὸν ςτόνον ἔχων. ὁ δὲ γόος, φηςίν, αὐτοπήμων ἐςτίν, ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια (893) δαΐφρων δέ, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων δαΐζων τὰς φρένας 895 ἐκ βάθους θρηνῶν 896 κλαιούςης τοὺς δύο βαςιλεῖς 897 πάρεςτιν εἰπεῖν: πάρεςτιν ἐπ' ἀμφοτέρων τοῦτο εἰπεῖν, ὁ μὲν βαςιλικῶς ἐκβαλὼν τὸν ἀδελφόν, ὁ δὲ βαςιλικῶς ἐπιςτρατεύςας 898 ἀντίοι γενόμενοι εἴς τε Θηβαίους καὶ Ἀργείους 900 μετὰ φθορᾶς

---

890 προπομπῷ H

ΗΜΙΧΟΡΙΟΝ Β

δυςδαίμονάς σφ' ἁ τεκοῦσα
πρὸ πασῶν
γυναικῶν, ὁπόσαι τεκνογόνοι κέκληνται,
παῖδα τὸν αὑτᾶς πόσιν αὑ-
τᾷ θεμένα, τούςδ' ἔτεχ'· οἳ δ'
ὧδ' ἐτελεύτασαν ὑπ' ἀλλαλοφόνοις
χερσὶν ὁμοσπόροισιν.

ΗΜΙΧΟΡΙΟΝ Α

ὁμόσποροι δῆτα καὶ πανώλεθροι στρ. δ'
διαρταμαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ.

ΗΜΙΧΟΡΙΟΝ Β

πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζοὰ φονορύτῳ
μέμικται, κάρτα δ' εἴς' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων
ὁ Πόντιος ξεῖνος ἐκ πυρὸς συθείς,
θηκτὸς σίδαρος, πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης,
ἀρὰν πατρῴαν τιθεὶς ἀλαθῆ.

---

901 — praemissum δυσδαίμων σφιν ἡ τεκοῦσα 902 προπασᾶν pr. προπασῶν sec. 904 αὐτᾶσ, (sed spiritu eraso) αὐταῖ 906 ἐτελεύτᾱσαν ὑπ' ἀλλᾱλοφόνοισ 908 Ismenae nota ἰσμ (η) — praescripta 909 διατομαῖσ* pr. διάτομαῖσ* sec. 911 νείκ*οσ 912 ημ abest 913 φονορρύτω 914 εἴσ' 915 χ (ο) — praefixum 918 δατητᾶσ 919 ἀρᾶι pr. ἀρὰν sec. πατρὸσ ἀληθῆ (.α.) ant.

ἐλθούσας 901 δυσδαίμων: ὅτι ὃν ἔτεκεν ἄνδρα ἔσχεν 908 ὁμόσποροι δῆτα καὶ πανώλεθροι: ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας. ἀποθανόντων γὰρ πέπαυται τὸ ἔχθος 912 ἐν δὲ γαίᾳ ζοά: ἡ ζωὴ αὐτῶν κέχυται ἐν τῇ φονορρύτῳ γῇ 914 τῇ συμφορᾷ κάρτα δ' εἴς' ὅμαιμοι: ὄντως ἀδελφοί εἰσι ταῖς προαιρέσεσι τοιοῦτοι ὄντες 915 πικρὸς λυτὴρ νεικέων: Πόντιος ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν. ἔθνος γὰρ ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος. πυρὸς δὲ συθείς, ὅτι διὰ πυρὸς ἡ κατασκευή 918 κακὸς δατητάς: πικρὸς μεριστὴς ὁ σίδηρος τῶν χρημάτων. ἐπειδὴ ἐπηράσατο διὰ ξιφῶν αὐτοὺς τὴν οὐσίαν νείμασθαι

ΗΜΙΧΟΡΙΟΝ Α

ἔχουϲι μοῖραν λαχόντεϲ, ὦ μέλεοι, ἀντ. δ′
διοϲδότων ἀχθέων·
ὑπὸ δὲ χώματι γᾶϲ
πλοῦτοϲ ἄβυϲϲοϲ ἔϲται.

ΗΜΙΧΟΡΙΟΝ Β

ἰὼ πολλοῖϲ ἐπανθίϲαντεϲ
πόνοιϲι γενεάν·
τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν
ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένουϲ·
ἔϲτακε δ' Ἄταϲ τροπαῖον ἐν πύλαιϲ,
ἐν αἷϲ ἐθείνοντο, καὶ
δυοῖν κρατήϲαϲ ἔληξε δαίμων.

ΑΝΤΙΓΟΝΗ

παιϲθεὶϲ ἔπαιϲαϲ. προῳδόϲ

ΙϹΜΗΝΗ

ϲὺ δ' ἔθανεϲ κατακτανών.

ΑΝΤΙΓΟΝΗ

δορὶ δ' ἔκανεϲ ϲτρ. α′

---

920 Antigonae nota αν[τ] — praefixa λαχόντεσ μέλεοι 921 ἀχέων 922 σώματι 924 ἰσμ[η] — praecedit ἐπανθήσαντεσ 925 πόνοισι γενεὰν ‖ πόνοισί γε δάμουσ, sed δόμουσ[οι] rec. 926 αἶδ' pr. αἴδ' sec. 928 παντρόπω pr. παντρόπω[ι] sec. 929 ἔστακεν pr. ἔστακεν[δ'] rec. ἄτᾶσ τροπαῖον pr. τρόπαῖον sec.

932 ἰσμ[η] praefixum, hinc autem (praeter unum v. 943) constanter tantum — nota usque ad 989, nisi ubi eam prorsus omissam testamur 933 ἔκτανεσ

---

923 γᾶϲ πλοῦτοϲ ἄβυϲϲοϲ ἔϲται: πολλὴ τῆϲ γῆϲ ἀφθονία ὑποκείϲεται αὐτοῖϲ. ἢ οὕτωϲ, ὑπὸ γῆϲ δὲ ὁ πολὺϲ πλοῦτοϲ αὐτοῖϲ κέκρυπται, ἀντὶ τοῦ ἐν ἀφανείᾳ 926 τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν: ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν αἱ ἀραὶ τοῦ Οἰδίποδοϲ ἐπηλάλαξαν 928 παντρόπῳ φυγᾷ γένουϲ: οἷον οὐκ ἔτι φέρει τὰϲ ϲυμφορὰϲ τὸ γένοϲ, ἀλλὰ δέδωκεν νῶτα τοῖϲ κακοῖϲ, τῆϲ δὲ ἄτηϲ τρόπαιον ἕϲτηκεν 928 (immo 924) (οἱ πολλὰ κακὰ ἰδόντεϲ 928 τοῦ ἰδίου) 932 καταχθεὶϲ (i. παταχθεὶϲ) ἐπάταξαϲ ἀνῃρέθηϲαν οὕτωϲ· ὁ πλήξαϲ ἐπλήγη, ὁ δὲ κατακτανών, ἀνελὼν τὸν ἕτερον, ἀπέθανεν

ΙϹΜΗΝΗ

δορὶ δ' ἔθανεϲ . . ἀντ. α΄

ΑΝΤΙΓΟΝΗ

μελεόπονοϲ. ϲτρ. β΄

ΙϹΜΗΝΗ

μελεοπαθήϲ. ἀντ. β΄

ΑΝΤΙΓΟΝΗ

ἴτω γόοϲ. ϲτρ. γ΄

ΙϹΜΗΝΗ

ἴτω δάκρυ. ἀντ. γ΄

ΑΝΤΙΓΟΝΗ

πρόκειϲαι κατακτάϲ. ϲτρ. δ΄

ΙϹΜΗΝΗ

* πρόκειϲαι φονευθείϲ. * ἀντ. δ΄

ΑΝΤΙΓΟΝΗ

ἠέ. ϲτρ. ε΄

ΙϹΜΗΝΗ

ἠέ.

ΑΝΤΙΓΟΝΗ

μαίνεται γόοιϲι φρήν.

ΙϹΜΗΝΗ

ἐντὸϲ δὲ καρδία ϲτένει.

ΑΝΤΙΓΟΝΗ

ἰὼ ἰὼ δακρυτὲ ϲύ.

ΙϹΜΗΝΗ

ϲὺ δ' αὖτε καὶ πανάθλιε.

ΑΝΤΙΓΟΝΗ

πρὸϲ φίλου ἔφθιϲο.

---

937 sqq. horum haec species:

— ἴτω γόοσ — ἴτω δάκρυα·
προ*κείσεται κατακτάσ· ἠέ ἠέ
μαίνεται γόοισι φρὴν· ἰσμ[η] ἐντὸσ δὲ καρδ**ία, στένει·
— ἰὼ ἰὼ πανδάκρυτε, σύ· — σὺ δ' αὖτε καὶ πανάθλιε·

946 φίλου γ'

---

937 ἴτω γόος, ἴτω δάκρυα: ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον. ἴτω, κοιμάσθω καὶ ὁ ἀνελὼν τὸν ἕτερον, καὶ αὐτὸς προκείσεται, τοῦτ' ἔστι τέθνηκεν 939 δηλονότι νεκρός

ΙϹΜΗΝΗ

καὶ φίλον ἔκτανες.

ΑΝΤΙΓΟΝΗ

διπλᾶ λέγειν

ΙϹΜΗΝΗ

διπλᾶ δ' ὁρᾶν

ΑΝΤΙΓΟΝΗ

ἄχεα δοιὰ τάδ' ἔγγυθεν

ΙϹΜΗΝΗ

πέλας ἀδελφὰ δ' ἀδελφεῶν.

ΑΝΤΙΓΟΝΗ

ὀλοὰ λέγειν.

ΙϹΜΗΝΗ

ὀλοὰ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά.

ΙϹΜΗΝΗ

μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ

ἠέ. ἀντ. ε′

ΙϹΜΗΝΗ

ἠέ.

ΑΝΤΙΓΟΝΗ

δυσθέατα πήματα.

---

950 —— ἀ**χέων τοίων τάδ' ἐγγύθεν 951 —— πέλασ δ' αἶδ' ἀδελφαὶ ἀδελφεῶν 952. 953 absunt 955 οἰδίπου, σκιά· (prorsus ut v. 971) 956 nihil notae praefixum μέλαινα τ' pr. μέλαινά τ' sec. μεγασθενὴσ τίσ, εἶ 957 sqq.:

—— ἠὲ ἠὲ δυσθέατα πήματα ἐδείξατ' ἐκ φυγᾶσ ἐμοί·
—— οὐδ' ἵκεθ' ὡσ κατέκτανεν· —— σωθεὶσ δέ, πνεῦμ' ἀπώλεσεν·
—— ἀπώλεσεν δῆτα· —— καὶ τόνδ' ἐνόσφισεν·

ubi ἐδ in ἐδείξατ' corr. ex ἔδ

---

950 ἀχέων τοίων: τοῖς πάθεσιν ἀγχιστεύοντα [ἀγχιστεύουσαι] ἀντὶ τοῦ οὐκ ἀλλότρια ἀχέω: ἤγουν θρῆναι (i. θρήνων) 951 πέλας δ' αἶδ' ἀδελφαί: ἐγγὺς δὲ τῶν κακῶν καὶ ἡμεῖς αἱ ἀδελφαὶ ἐσμὲν ὧν καὶ οἱ ἀδελφοί 952 ἐφύμνιον 955 Οἰδίπου σκιά: ὁ ἀσθενὴς Οἰδίπους· ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν 957 ἠὲ ἠὲ δυσθέατα: τοῦτο ὡς πρὸς Πολυνείκη, ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε ὀδύνας

ICMHNH

ἔδειξε δ' ἐκ φυγᾶς ἐμοί.

ANTIΓONH

οὐδ' ἵκεθ', ὡς κατέκτανεν.

ICMHNH

cωθεὶc δὲ πνεῦμ' ἀπώλεcεν.

ANTIΓONH

ὤλεcε δῆτα, ναί.

ICMHNH

τόνδε δ' ἐνόcφιcεν.

ANTIΓONH

τάλαν γένοc.

ICMHNH

τάλαν πάθοc.

ANTIΓONH

δίπονα κήδε' ὁμώνυμα.

ICMHNH

δίυγρα πήματα παλμάτων.

ANTIΓONH

ὀλοὰ λέγειν.

ICMHNH

ὀλοὰ δ' ὁρᾶν.

ANTIΓONH

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου cκιά.

ICMHNH

μέλαιν' Ἐρινύc, ἦ μεγαcθενήc τιc εἶ,

---

965 —— τάλανα καὶ πάθόν·, sed priore in πάθόν accentu deleto 966 —— δύστονα 967 δίϋγρα τριπάλτων πημάτων 970 —— μοῖρα sine ἰώ μογερᾶ̆ 971 ante πότνια τ' nota —— erasa οἰδίπου, σκιὰ· (ut v. 955) 972 ante μέλαινά τ' item erasa —— nota μεγασθενῆστισ εἶ

---

960 οὐδ' ἵκεθ' ὡc κατέκτανε: ὁ Ἐτεοκλῆc. πρῶτοc γὰρ κατέκτανε τὸν Πολυνείκην 961 cωθεὶc δὲ πνεῦμ' ἀπώλεcεν: cωθεὶc ἀπὸ τῆc φυγῆc ἀπώλεcεν τοῦ Ἐτεοκλέουc τὸ πνεῦμα. ἢ τὸ αὐτοῦ· ὃ καὶ μᾶλλον 965 τλητικὰ πεπονθόc 967 δίυγρα: ζῶντα πήματα χεόμενα καὶ πολλά. τριπάλτων δὲ πημάτων, cφοδρῶc πηδηcάντων 968 τὸ ἐφύμνιον. ταῦτα δὲ λέγει ὡc βαρέωc φέρων

ΑΝΤΙΓΟΝΗ
cύ τοί νιν οἶcθα διαπερῶν, cτρ. ϛʹ
ΙCΜΗΝΗ
cὺ δ' οὐδὲν ὕcτερος μαθών, ἀντ. ϛʹ
ΑΝΤΙΓΟΝΗ
ἐπεὶ κατῆλθες ἐς πόλιν, cτρ. ζʹ
ΙCΜΗΝΗ
δορός γε τῷδ' ἀντηρέτας. ἀντ. ζʹ
ΑΝΤΙΓΟΝΗ
ὦ πόνος cτρ. ηʹ
ΙCΜΗΝΗ
ὦ κακὰ
ΑΝΤΙΓΟΝΗ
δώμαcι ἀντ. ηʹ
ΙCΜΗΝΗ
καὶ χθονί,
ΑΝΤΙΓΟΝΗ
πρὸ πάντων δ' ἐμοί cτρ. θʹ
ΙCΜΗΝΗ
καὶ τὸ πρόcω γ' ἐμοί. ἀντ. θʹ
ΑΝΤΙΓΟΝΗ
ἰὼ δυcπότμων cτρ. ιʹ
ΙCΜΗΝΗ
ἄναξ Ἐτεόκλειc.

---

973 τοίνυν 975 sqq. sic scripti:

— ἐπεὶ κατῆλθεσ ἐσ πόλιν· δορόσ γε τῶιδ' ἀντηρέτασ· (η supra)
— ὀλοὰ λέγειν — ὀλοὰ δ' ὁρᾶν — ἰὼ πόνοσ·
— ἰὼ ἰὼ κακὰ δώμασιν — καὶ χθονὶ· πρὸ πάντων δ' ἐμοί·
καὶ τὸ πρόσω γ' ἐμοί· — ἰὼ ἰὼ δυστάνων κακῶν ἄναξ·
— ἰὼ πάντων πολυπονώτατοι — ἰὼ δαιμονῶντεσ ἐν ἄτα*ι·

ubi v. 1 ἀντηρέτασ (η supra) ant. 4 κακῶν (ϊ supra) in mrg. adscriptum m. scholiastae ·S· ετέοκλειc ἀρχηγέτα 5 ἄτα* pr. ἄται sec.

---

973 cὺ τοίνυν οἶcθα: cὺ οἶδας, ὦ Ἐτεόκλειc, τὴν Μοῖραν ὅcον δύναται διαβὰς αὐτήν 974 cὺ δ' οὐδὲν ὕcτεροc: cὺ δὲ οὐ μετουπολὺ οὐδὲ ὕcτερον ἔμαθες ἄντικρυς τὸν ἀδελφόν cου πολεμήcας 976 ἀντηρέτης: ὀρθή ἐcτιν. ἀντιcτάτης τῷ Ἐτεοκλεῖ 968 ὀλοὰ λέγειν: οὐ μόνον ταῦτα λέγειν ὀλοά, ἀλλὰ καὶ ὁρᾶcθαι. κεῖται γὰρ τὰ cώματα 977 ὁ ἐφ' ἡμῖν ἐξημμένος ἃ δι' ὑμᾶς ἔχομεν

ΑΝΤΙΓΟΝΗ

cù δ' ἀρχαγέτας ἀντ. ι΄

ΙCΜΗΝΗ

. . . .

ΑΝΤΙΓΟΝΗ

ἰὼ πάντων πολυςτονώτατοι. cτρ. ια΄

ΙCΜΗΝΗ

. . . .

ΑΝΤΙΓΟΝΗ

ἰώ, ἰώ, δαιμονῶντες ἄτᾳ.

ΙCΜΗΝΗ

ἰώ, ἰώ, ποῦ cφε θήcομεν χθονόc; ἀντ. ια΄

ΑΝΤΙΓΟΝΗ

ἰώ, ὅπου τιμιώτατον.

ΙCΜΗΝΗ

ἰώ, ἰώ, πῆμα πατρὶ πάρευνον.

ΚΗΡΥΞ

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοιc τῆcδε Καδμείαc πόλεωc·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸc
θάπτειν ἔδοξε γῆc φίλαιc καταcκαφαῖc·
cτέγων γὰρ ἐχθροὺc θάνατον εἷλετ' ἐν πόλει,

---

986 ἰὼ pr. ἰὼ (ἰώ) sec. (pr.?) 989 Κῆρυξ — praemissum ἀπαγγέλειν pr. ἀπαγγέλ(λ)ειν sec. (pr.?) 991 ευνοία pr. εὐναίαι sec. (non pr.) 993 στυγῶν pr. στυγῶν (εἴργων δηλονότι) 'a manu glossatoris'

---

983 ἐπιπονώτατοι. λείπει τὸ ἀδελφοί. πολλοὺc πόνουc πονήcαντεc 985 λυccήcαντεc 986 εἰc ποῖον τῆc γῆc τόπον 987 ὅπου τιμιώτατον μέροc 988 παρὰ τὴν εὐνὴν τοῦ πατρόc 989 τὰ δόξαντα τοῖc προβούλοιc ἀπαγγεῖλαί με χρή 992 (immo 991) εὐφήμωc τὸν τάφον εὐνὴν εἶπεν. ἔδοξεν οὖν τοῖc προβούλοιc τῶν Θηβαίων τὸν Ἐτεοκλέα ἐν τῷ τόπῳ τοῦ τάφου καταθάπτεcθαι. διὰ μέντοι τοῦ θάπτειν Ἐτεοκλέα ἀπαγορεύει καὶ μὴ θάπτεcθαι Πολυνείκην. γῆc δὲ καταcκαφὰc εἶπεν οἷον τὰc κάτω cκαφάc. ὑπὲρ ἱερῶν πατρῴων ὁcίωc μαχόμενοc ἀπέθανεν ἀμέμπτωc cκάπτονταc καὶ τάφον ποιοῦνταc αὐτῷ φιλίουc 993 εἴργων δηλονότι

---

992 θηβαίων ἐτεοκλέα Η

ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν.
τούτου δ' ἀδελφὸν τόνδε, Πολυνείκους νεκρόν,
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'· ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε,
στράτευμ' ἐπακτὸν ἐμβαλών, ᾕρει πόλιν.
οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα,
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο·
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω, κἀνὰ κίνδυνον βαλῶ,
θάψας' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχους' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλους' ἄκοντι κοινώνει κακῶν,
ψυχή, θανόντι ζῶσα, συγγόνῳ φρενί.

---

994 δ' add. m. sec. 996 ἀμφιτοῦδ' 1000 ἐμποδῶν 1002 πατρώων 1004 πετηνῶν (non ποτηνῶν) 1008 ἄτιμον* ἐκ φορᾶσ 1009 ἔδοξεν τέ**λει 1010 ἀν (τ superscr.) praefixum 1011 θέλοι 1012 κ' ἀνακίνδυνον βάλω 1013 θάψασ 1014 τῆνδ' 1015 post κοινὸν ras. 1016 κ' ἀπὸ 1017 τοὶ γὰρ κακὰγ pr. κακῶι sec.

---

994 λείπει ἡ ὑπέρ· ὑπὲρ ἱερῶν 995 παρὰ τὸ εἷς οἰωνὸς ἄριστος ἀμυν (ε superscr.) 1001 ὄνειδος τῷ Πολυνείκει ὥστε μὴ ἑλεῖν αὐτὸν τὴν πόλιν 1007 μήτε μὴν ὀξυτάτοις θρήνοις τιμᾶν αὐτόν 1009 τῷ τάγματι πλήθει 1017 ἀδελφῷ δι' ἀνάγκην γεγονότι κακῷ

τούτου δὲ cάρκας οὐδὲ κοιλογάcτορες
λύκοι cπάcονται· μὴ δοκηcάτω τινί.
τάφον γὰρ αὐτῇ καὶ καταcκαφὰς ἐγώ,
γυνή περ οὖcα, τῷδε μηχανήcομαι,
κόλπῳ φέρουcα βυccίνου πεπλώματος,
καὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν.
θάρcει· παρέcται μηχανὴ δραcτήριος.

ΚΗΡΥΞ

αὐδῶ πόλιν cε μὴ βιάζεcθαι τόδε.

ΑΝΤΙΓΟΝΗ

αὐδῶ cε μὴ περιccὰ κηρύccειν ἐμοί.

ΚΗΡΥΞ

τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

ΑΝΤΙΓΟΝΗ

τράχυν'· ἄθαπτος δ' οὗτος οὐ γενήcεται.

ΚΗΡΥΞ

ἀλλ' ὃν πόλις cτυγεῖ, cὺ τιμήcεις τάφῳ;

ΑΝΤΙΓΟΝΗ

ἤδη τὰ τοῦδ' οὐ δυcτετίμηται θεοῖς.

ΚΗΡΥΞ

οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

ΑΝΤΙΓΟΝΗ

παθὼν κακῶς κακοῖcιν ἀντημείβετο.

1019 τούτω 1020 σπάσονται pr. ut vid. *πάσονται (γευσονται superscr.) 'a m. glossatoris' 1021 αὐτῶ 1023 θάρσει· παρέσται sic 1024 κ' αὐτὴ δόξη 1026—1038 singulis praefixa — nota, item versibus 1043. 1048. 1052, v. autem 1039 et 1058 ἡμι (χ superscr.) et ἡμιχ (ο superscr.), ceteris usque ad finem nihil 1029 γενήσσεται 1030 τάφω (ι superscr.) 1031 διατετίμηται cum exigua super α in δια rasura 1032 τῆνδε 1033 παθῶν

1019 μεγαλογάcτορες 1020 μὴ τοῦτο ἀρεcάτω γεύcονται 1023 τῷ τοῦ βυccίνου πέπλου κόλπῳ τὴν γῆν παρακομίζουcα, ὡς ἐπιβάλλειν μέλλουcα χῶμα, διὰ τὸ ὀρύττειν μὴ δύναcθαι 1025 παρέcται μηχανὴ δι' ἧς αὐτὸν θάψω 1028 τραχὺς ἔcται ὁ δῆμος ἐν ἐλευθερίᾳ τοῦ πολέμου γενόμενος 1029 λέγε πολλάκις, τραχὺς ἔcται ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναcτείλῃς με θάψαι 1031 τὰ περὶ τῆς τιμῆς τούτου ὑπὸ θεῶν κέκριται

ΚΗΡΥΞ

ἀλλ᾽ εἰϲ ἅπανταϲ ἀνθ᾽ ἑνὸϲ τόδ᾽ ἔργον ἦν.

ΑΝΤΙΓΟΝΗ

. . . .

ΚΗΡΥΞ

ἔριϲ περαίναι μῦθον ὑϲτάτη θεῶν.

ΑΝΤΙΓΟΝΗ

ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.

ΚΗΡΥΞ

ἀλλ᾽ αὐτόβουλοϲ ἴϲθ᾽, ἀπεννέπω δ᾽ ἐγώ.

ΧΟΡΟϹ

φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερϲιγενεῖϲ
Κῆρεϲ Ἐρινύεϲ, αἵτ᾽ Οἰδιπόδα
γένοϲ ὠλέϲατε πρέμνοθεν οὕτωϲ,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήϲωμαι;
πῶϲ τολμήϲω μήτε ϲὲ κλαίειν
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολῑτῶν.
ϲύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνοϲ δ᾽ ὁ τάλαϲ ἄγοοϲ
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆϲ
εἶϲι. τίϲ οὖν ἂν τὰ πίθοιτο;

ΗΜΙΧΟΡΙΟΝ Α

δράτω τι πόλιϲ καὶ μὴ δράτω   ϲύϲτ.
τοὺϲ κλαίονταϲ Πολυνείκη.
ἡμεῖϲ μὲν ἴμεν καὶ ϲυνθάψομεν

1035 nihil lacunae   1039 inter φεῦ et φεῦ magnum intervallum   1042 πρυμνόθεν   1043 τί δ᾽ ἐρῶ·   1044 μήτεσε   1049 τεύξηι   1050 θρῆνοσ   1051 εἶσιν· τίσ ἂν οὖν τὰ πείθοιτο· sed εἶσιν corr. ex εἰσὶν   1052 δράτω πόλισ   1054 ἡμεῖσ γὰρ ἴμεν

1034 ὑπὸ μόνου τοῦ Ἐτεοκλέουϲ ἀδικηθεὶϲ πάνταϲ ἐπολέμηϲε τοὺϲ Θηβαίουϲ   1038 ϲῇ βουλῇ καὶ γνώμῃ (ϲῇ γνώμῃ) ὃ βούλει πρᾶττε   1040 αἱ ἐπὶ τὸ (i. τῷ) φθείρειν γεγονυῖαι   1039 φεῦ φεῦ: διαιρεῖται ὁ χορὸϲ, τῶν μὲν ὑπὲρ Πολυνείκουϲ, τῶν δὲ ὑπὲρ Ἐτεοκλέουϲ οὐϲῶν· ὥϲπερ δὲ μεμέριϲται ὁ χορὸϲ, οὕτωϲ καὶ αἱ ἀδελφαί. καὶ ἡ μὲν Ἰϲμήνη τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει, ἡ δὲ Ἀντιγόνη τῷ Πολυνείκει   1051 τίϲ ἡμῶν ἐϲτὶ ταύτηϲ τῆϲ γνώμηϲ;   1052 δράτω

αἵδε πρόπομποι. καὶ γὰρ γενεᾷ
. . . . κοινὸν τόδ' ἄχος,
καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

ΗΜΙΧΟΡΙΟΝ Β

ἡμεῖς δ' ἅμα τῷδ', ὥςπερ τε πόλις ἀντιςύςτ.
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰςχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι, μηδ' ἀλλοδαπῶν
κύματι φωτῶν
κατακλυςθῆναι τὰ μάλιςτα.

1055 αἱ δὲ γενεᾶ pr. γενᾶι sec. cum ras. 1056 nihil lacunae 1063 ἀλλοδαπῶ pr. ἀλλοδαπῶι sec.

Subscriptum est:

~ ~ ἈΙϹΧΥΛΟΥ ~ ~ ἘΠΙΘΗΒΑϹ ~ ΤΕΛΟϹ: ~

πόλις: ὃ βούλεται ποιείτω εἰς τοὺς κλαίοντας Πολυνείκη 1057 οὐ διόλου τὰ αὐτὰ δοκεῖ τῷ δήμῳ 1059 ἡμεῖς δ' ἅμα: ἅμα τῷ Ἐτεοκλεῖ ἐκκομιζομένῳ ἑπόμεθα 1061 μετὰ γὰρ μάκαρας: μετὰ γὰρ τοὺς θεοὺς καὶ τὴν ἑαυτοῦ παρέθηκεν ἰςχὺν ὑπὲρ τῆς πόλεως· καὶ γὰρ ἐνίκηςαν οἱ ἡμέτεροι πολῖται καὶ οὐκ εἴαςε τὴν πόλιν ἡμῶν οὕτως ὑπὸ χειμερινοῦ κύματος κατακλυςθῆναι πρὸς τῶν Ἀργείων. ἀκολούθως μέντοι τῷ κύματι καὶ τὸ κατακλυςθῆναι ἐπήνεγκεν



